[a] For since the figure circumscribed about the circle B has to the inscribed figure a ratio less than that which the circle B has to the surface of the cylinder [*ex hypothesi*], and the circle B is less than the circumscribed figure, therefore the

the circle A has to the rectilineal figure inscribed in the circle B the same ratio as the triangle KTΔ has to the triangle ΛZP. But the rectilineal figure inscribed in the circle A is less than the triangle KTΔ; therefore the rectilineal figure inscribed in the circle B is less than the triangle ZPΛ; and so it is less than the surface of the prism inscribed in the cylinder; which is impossible.[a] Therefore the circle B is not greater than the surface of the cylinder. But it was proved not to be less. Therefore it is equal.

Prop. 14

The surface of any cone without the base is equal to a circle, whose radius is a mean proportional between the side of the cone and the radius of the circle which is the base of the cone.

Let there be an isosceles cone, whose base is the circle A, and let its radius be Γ, and let Δ be equal

inscribed figure is greater than the surface of the cylinder, and *a fortiori* is greater than the surface of the prism [Prop. 12]. An explanation on these lines is found in our text, but as the corresponding proof in the first half of the proposition was unknown to Eutocius, this also must be presumed an interpolation.

κώνου ἔστω ἴση ἡ Δ, *τῶν δὲ* Γ, Δ *μέση ἀνάλογον ἡ* Ε, *ὁ δὲ* Β *κύκλος ἐχέτω τὴν ἐκ τοῦ κέντρου τῇ* Ε *ἴσην· λέγω, ὅτι ὁ* Β *κύκλος ἐστὶν ἴσος τῇ ἐπιφανείᾳ τοῦ κώνου χωρὶς τῆς βάσεως.*

Εἰ *γὰρ μή ἐστιν ἴσος, ἤτοι μείζων ἐστὶν ἢ ἐλάσσων. ἔστω πρότερον ἐλάσσων. ἔστι δὴ δύο μεγέθη ἄνισα ἥ τε ἐπιφάνεια τοῦ κώνου καὶ ὁ* Β *κύκλος, καὶ μείζων ἡ ἐπιφάνεια τοῦ κώνου· δυνατὸν ἄρα εἰς τὸν* Β *κύκλον πολύγωνον ἰσόπλευρον ἐγγράψαι καὶ ἄλλο περιγράψαι ὅμοιον τῷ ἐγγεγραμμένῳ, ὥστε τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ἡ ἐπιφάνεια τοῦ κώνου πρὸς τὸν* Β *κύκλον. νοείσθω δὴ καὶ περὶ τὸν* Α *κύκλον πολύγωνον περιγεγραμμένον ὅμοιον τῷ περὶ τὸν* Β *κύκλον περιγεγραμμένῳ, καὶ ἀπὸ τοῦ περὶ τὸν* Α *κύκλον περιγεγραμμένου πολυγώνου πυραμὶς ἀνεστάτω ἀναγεγραμμένη τὴν αὐτὴν κορυφὴν ἔχουσα τῷ κώνῳ. ἐπεὶ οὖν ὅμοιά ἐστιν τὰ πολύγωνα τὰ περὶ* to the side of the cone, and let E be a mean proportional between Γ, Δ, and let the circle B have its



radius equal to E; I say that the circle B is equal to the surface of the cone without the base.

For if it is not equal, it is either greater or less. First let it be less. Then there are two unequal magnitudes, the surface of the cone and the circle B, and the surface of the cone is the greater; it is therefore possible to inscribe an equilateral polygon in the circle B and to circumscribe another similar to the inscribed polygon, so that the circumscribed polygon has to the inscribed polygon a ratio less than that which the surface of the cone has to the circle B [Prop. 5]. Let this be imagined, and about the circle A let a polygon be circumscribed similar to the polygon circumscribed about the circle B, and on the polygon circumscribed about the circle A let a pyramid be raised having the same vertex as the cone. Now since the polygons circumscribed about τοὺς Α, Β κύκλους περιγεγραμμένα, τὸν αὐτὸν ἔχει λόγον πρὸς ἄλληλα, ὃν αἱ ἐκ τοῦ κέντρου δυνάμει πρὸς ἀλλήλας, τουτέστιν ὃν ἔχει ἡ Γ πρὸς Ε δύναμει, τουτέστιν ἡ Γ πρὸς Δ μήκει. ὃν δὲ λόγον ἔχει ἡ Γ πρὸς Δ μήκει, τοῦτον ἔχει τὸ περιγεγραμμένον πολύγωνον περὶ τὸν Α κύκλον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος τῆς περιγεγραμμένης περὶ τὸν κῶνον [ἡ μὲν γὰρ Γ ἴση ἐστὶ τῇ ἀπὸ τοῦ κέντρου καθέτῳ ἐπὶ μίαν πλευρὰν τοῦ πολυγώνου, ἡ δὲ Δ τῇ πλευρᾷ τοῦ κώνου· κοινὸν δὲ ὕψος ἡ περίμετρος τοῦ πολυγώνου πρὸς τὰ ἡμίση τῶν ἐπιφανειῶν][1]· τὸν αὐτὸν ἄρα λόγον ἔχει τὸ εὐθύγραμμον τὸ περὶ τὸν Α κύκλον πρὸς τὸ εὐθύγραμμον τὸ περὶ τὸν Β κύκλον καὶ αὐτὸ τὸ εὐθύγραμμον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος τῆς περιγεγραμμένης περὶ τὸν κῶνον· ὥστε ἴση ἐστὶν ἡ ἐπιφάνεια τῆς πυραμίδος τῷ εὐθυγράμμῳ τῷ περὶ τὸν Β κύκλον περιγεγραμμένῳ. ἐπεὶ οὖν ἐλάσσονα λόγον ἔχει τὸ εὐθύγραμμον τὸ περὶ τὸν Β κύκλον περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἤπερ ἡ ἐπιφάνεια τοῦ κώνου πρὸς τὸν Β κύκλον, ἐλάσσονα λόγον ἕξει ἡ ἐπιφάνεια τῆς πυραμίδος τῆς περὶ τὸν κῶνον περιγεγραμμένης πρὸς τὸ εὐθύγραμμον τὸ ἐν τῷ Β κύκλῳ ἐγγεγραμμένον ἤπερ ἡ ἐπιφάνεια τοῦ κώνου πρὸς τὸν Β κύκλον· ὅπερ ἀδύνατον [ἡ μὲν γὰρ ἐπιφάνεια τῆς πυραμίδος μείζων οὖσα δέδεικται τῆς ἐπιφανείας τοῦ κώνου, τὸ δὲ ἐγγεγραμμένον εὐθύγραμμον ἐν τῷ Β κύκλῳ ἔλασσον ἔσται τοῦ Β κύκλου].[2] οὐκ ἄρα ὁ Β κύκλος ἐλάσσων ἔσται τῆς ἐπιφανείας τοῦ κώνου.

the circles A, B are similar, they have the same ratio one toward the other as the square of the radii have one toward the other, that is $\Gamma^2 : E^2$, or $\Gamma : \Delta$ [Eucl. vi. 20, coroll. 2]. But $\Gamma : \Delta$ is the same ratio as that of the polygon circumscribed about the circle A to the surface of the pyramid circumscribed about the cone[a]; therefore the rectilineal figure about the circle A has to the rectilineal figure about the circle B the same ratio as this rectilineal figure [about A] has to the surface of the pyramid circumscribed about the cone; therefore the surface of the pyramid is equal to the rectilineal figure circumscribed about the circle B. Since the rectilineal figure circumscribed about the circle B has towards the inscribed [rectilineal figure] a ratio less than that which the surface of the cone has to the circle B, therefore the surface of the pyramid circumscribed about the cone will have to the rectilineal figure inscribed in the circle B a ratio less than that which the surface of the cone has to the circle B; which is impossible.[b] Therefore the circle B will not be less than the surface of the cone.

[a] For the circumscribed polygon is equal to a triangle, whose base is equal to the perimeter of the polygon and whose height is equal to Γ, while the surface of the pyramid is equal to a triangle having the same base and height Δ [Prop. 8]. There is an explanation to this effect in the Greek, but so obscurely worded that Heiberg attributes it to an interpolator.

[b] For the surface of the pyramid is greater than the surface of the cone [Prop. 12], while the inscribed polygon is less than the circle B.

---

[1] ἡ μὲν . . . ἐπιφανειῶν om. Heiberg.
[2] ἡ μὲν . . . τοῦ B κύκλου om. Heiberg.

Λέγω δή, ὅτι οὐδὲ μείζων. εἰ γὰρ δυνατόν ἐστιν, ἔστω μείζων. πάλιν δὴ νοείσθω εἰς τὸν Β κύκλον πολύγωνον ἐγγεγραμμένον καὶ ἄλλο περιγεγραμμένον, ὥστε τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ὁ Β κύκλος πρὸς τὴν ἐπιφάνειαν τοῦ κώνου, καὶ εἰς τὸν Α κύκλον νοείσθω ἐγγεγραμμένον πολύγωνον ὅμοιον τῷ εἰς τὸν Β κύκλον ἐγγεγραμμένῳ, καὶ ἀναγεγράφθω ἀπ' αὐτοῦ πυραμὶς τὴν αὐτὴν κορυφὴν ἔχουσα τῷ κώνῳ. ἐπεὶ οὖν ὅμοιά ἐστι τὰ ἐν τοῖς Α, Β κύκλοις ἐγγεγραμμένα, τὸν αὐτὸν ἕξει λόγον πρὸς ἄλληλα, ὃν αἱ ἐκ τῶν κέντρων δυνάμει πρὸς ἀλλήλας· τὸν αὐτὸν ἄρα λόγον ἔχει τὸ πολύγωνον πρὸς τὸ πολύγωνον καὶ ἡ Γ πρὸς τὴν Δ μήκει. ἡ δὲ Γ πρὸς τὴν Δ μείζονα λόγον ἔχει ἢ τὸ πολύγωνον τὸ ἐν τῷ Α κύκλῳ ἐγγεγραμμένον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος τῆς ἐγγεγραμμένης εἰς τὸν κῶνον [ἡ γὰρ ἐκ τοῦ κέντρου τοῦ Α κύκλου πρὸς τὴν πλευρὰν τοῦ κώνου μείζονα λόγον ἔχει ἤπερ ἡ ἀπὸ τοῦ κέντρου ἀγομένη κάθετος ἐπὶ μίαν πλευρὰν τοῦ πολυγώνου πρὸς τὴν ἐπὶ τὴν πλευρὰν τοῦ πολυγώνου κάθετον ἀγομένην ἀπὸ τῆς κορυφῆς τοῦ κώνου][1]· μεί-

[1] ἡ γὰρ . . . τοῦ κώνου om. Heiberg.

[a] Eutocius supplies a proof. ZΘK is the polygon inscribed in the circle A (of centre A), AH is drawn perpendicular to

I say now that neither will it be greater. For if it is possible, let it be greater. Then again let there be imagined a polygon inscribed in the circle B and another circumscribed, so that the circumscribed has to the inscribed a ratio less than that which the circle B has to the surface of the cone [Prop. 5], and in the circle A let there be imagined an inscribed polygon similar to that inscribed in the circle B, and on it let there be drawn a pyramid having the same vertex as the cone. Since the polygons inscribed in the circles A, B are similar, therefore they will have one toward the other the same ratio as the squares of the radii have one toward the other; therefore the one polygon has to the other polygon the same ratio as Γ to Δ [Eucl. vi. 20, coroll. 2]. But Γ has to Δ a ratio greater than that which the polygon inscribed in the circle A has to the surface of the pyramid inscribed in the cone [a]; therefore the polygon in-

$K\Theta$ and meets the circle in M, Λ is the vertex of the isosceles cone (so that ΛH is perpendicular to $K\Theta$), and HN is drawn parallel to $M\Lambda$ to meet $A\Lambda$ in N. Then the area of the polygon inscribed in the circle $=\frac{1}{2}$ perimeter of polygon . AH, and the area of the pyramid inscribed in the cone $=\frac{1}{2}$ perimeter of polygon . ΛH, so that the area of the polygon has to the area of the pyramid the ratio $AH : \Lambda H$. Now, by similar triangles, $AM : M\Lambda = AH : HN$, and $AH : HN > AH : H\Lambda$, for $H\Lambda > HN$. Therefore $AM : M\Lambda > AH : H\Lambda$; that is, $\Gamma : \Delta$ exceeds the ratio of the polygon to the surface of the pyramid.



ζονα ἄρα λόγον ἔχει τὸ πολύγωνον τὸ ἐν τῷ Α κύκλῳ ἐγγεγραμμένον πρὸς τὸ πολύγωνον τὸ ἐν τῷ Β ἐγγεγραμμένον ἢ αὐτὸ τὸ πολύγωνον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος· μείζων ἄρα ἐστὶν ἡ ἐπιφάνεια τῆς πυραμίδος τοῦ ἐν τῷ Β πολυγώνου ἐγγεγραμμένου. ἐλάσσονα δὲ λόγον ἔχει τὸ πολύγωνον τὸ περὶ τὸν Β κύκλον περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἢ ὁ Β κύκλος πρὸς τὴν ἐπιφάνειαν τοῦ κώνου· πολλῷ ἄρα τὸ πολύγωνον τὸ περὶ τὸν Β κύκλον περιγεγραμμένον πρὸς τὴν ἐπιφάνειαν τῆς πυραμίδος τῆς ἐν τῷ κώνῳ ἐγγεγραμμένης ἐλάσσονα λόγον ἔχει ἢ ὁ Β κύκλος πρὸς τὴν ἐπιφάνειαν τοῦ κώνου· ὅπερ ἀδύνατον [τὸ μὲν γὰρ περιγεγραμμένον πολύγωνον μεῖζόν ἐστιν τοῦ Β κύκλου, ἡ δὲ ἐπιφάνεια τῆς πυραμίδος τῆς ἐν τῷ κώνῳ ἐλάσσων ἐστὶ τῆς ἐπιφανείας τοῦ κώνου].[1] οὐκ ἄρα οὐδὲ μείζων ἐστὶν ὁ κύκλος τῆς ἐπιφανείας τοῦ κώνου. ἐδείχθη δέ, ὅτι οὐδὲ ἐλάσσων· ἴσος ἄρα.

ιϛʹ

Ἐὰν κῶνος ἰσοσκελὴς ἐπιπέδῳ τμηθῇ παραλλήλῳ τῇ βάσει, τῇ μεταξὺ τῶν παραλλήλων ἐπιπέδων ἐπιφανείᾳ τοῦ κώνου ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου μέσον λόγον ἔχει τῆς τε πλευρᾶς τοῦ κώνου τῆς μεταξὺ τῶν παραλλήλων ἐπιπέδων καὶ τῆς ἴσης ἀμφοτέραις ταῖς ἐκ τῶν κέντρων τῶν κύκλων τῶν ἐν τοῖς παραλλήλοις ἐπιπέδοις.

Ἔστω κῶνος, οὗ τὸ διὰ τοῦ ἄξονος τρίγωνον ἴσον τῷ ΑΒΓ, καὶ τετμήσθω παραλλήλῳ ἐπιπέδῳ τῇ βάσει, καὶ ποιείτω τομὴν τὴν ΔΕ, ἄξων δὲ τοῦ κώνου ἔστω ὁ ΒΗ κύκλος δέ τις ἐκκείσθω, οὗ ἡ scribed in the circle A has to the polygon inscribed in the circle B a ratio greater than that which the same polygon [inscribed in the circle A] has to the surface of the pyramid; therefore the surface of the pyramid is greater than the polygon inscribed in B. Now the polygon circumscribed about the circle B has to the inscribed polygon a ratio less than that which the circle B has to the surface of the cone; by much more therefore the polygon circumscribed about the circle B has to the surface of the pyramid inscribed in the cone a ratio less than that which the circle B has to the surface of the cone; which is impossible.[a] Therefore the circle is not greater than the surface of the cone. And it was proved not to be less; therefore it is equal.

Prop. 16

If an isosceles cone be cut by a plane parallel to the base, the portion of the surface of the cone between the parallel planes is equal to a circle whose radius is a mean proportional between the portion of the side of the cone between the parallel planes and a straight line equal to the sum of the radii of the circles in the parallel planes.

Let there be a cone, in which the triangle through the axis is equal to ABΓ, and let it be cut by a plane parallel to the base, and let [the cutting plane] make the section ΔE, and let BH be the axis of the cone,

[a] For the circumscribed polygon is greater than the circle B, but the surface of the inscribed pyramid is less than the surface of the cone [Prop. 12]; the explanation to this effect in the text is attributed by Heiberg to an interpolator.

[1] τὸ μὲν . . . τοῦ κώνου om. Heiberg.

ἐκ τοῦ κέντρου μέση ἀνάλογόν ἐστι τῆς τε ΑΔ καὶ συναμφοτέρου τῆς ΔΖ, ΗΑ, ἔστω δὲ κύκλος ὁ Θ·



λέγω, ὅτι ὁ Θ κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ κώνου τῇ μεταξὺ τῶν ΔΕ, ΑΓ.

Ἐκκείσθωσαν γὰρ κύκλοι οἱ Λ, Κ, καὶ τοῦ μὲν Κ κύκλου ἡ ἐκ τοῦ κέντρου δυνάσθω τὸ ὑπὸ ΒΔΖ, τοῦ δὲ Λ ἡ ἐκ τοῦ κέντρου δυνάσθω τὸ ὑπὸ ΒΑΗ· ὁ μὲν ἄρα Λ κύκλος ἴσος ἐστὶν τῇ ἐπιφανείᾳ τοῦ ΑΒΓ κώνου, ὁ δὲ Κ κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ ΔΕΒ. καὶ ἐπεὶ τὸ ὑπὸ τῶν ΒΑ, ΑΗ ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν ΒΔ, ΔΖ καὶ τῷ ὑπὸ τῆς ΑΔ καὶ συναμφοτέρου τῆς ΔΖ, ΑΗ διὰ τὸ παράλληλον εἶναι τὴν ΔΖ τῇ ΑΗ, ἀλλὰ τὸ μὲν ὑπὸ ΑΒ, ΑΗ δύναται ἡ ἐκ τοῦ κέντρου τοῦ Λ κύκλου, τὸ δὲ ὑπὸ ΒΔ, ΔΖ δύναται ἡ ἐκ τοῦ κέντρου τοῦ Κ κύκλου, τὸ δὲ ὑπὸ τῆς ΔΑ καὶ συναμφοτέρου τῆς ΔΖ, ΑΗ δύναται ἡ ἐκ τοῦ κέντρου τοῦ Θ, τὸ ἄρα ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ Λ κύκλου ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ἐκ τῶν κέντρων τῶν Κ, Θ κύκλων· ὥστε καὶ ὁ Λ κύκλος ἴσος ἐστὶ τοῖς Κ, Θ κύκλοις.

and let there be set out a circle whose radius is a mean proportional between ΑΔ and the sum of ΔΖ, ΗΑ, and let Θ be the circle ; I say that the circle Θ is equal to the portion of the surface of the cone between ΔΕ, ΑΓ.

For let the circles Λ, Κ be set out, and let the square of the radius of Κ be equal to the rectangle contained by ΒΔ, ΔΖ, and let the square of the radius of Λ be equal to the rectangle contained by ΒΑ, ΑΗ ; therefore the circle Λ is equal to the surface of the cone ΑΒΓ, while the circle Κ is equal to the surface of the cone ΔΕΒ [Prop. 14]. And since

$$\mathrm{BA}\,.\,\mathrm{AH} = \mathrm{B}\Delta\,.\,\Delta\mathrm{Z} + \mathrm{A}\Delta\,.\,(\Delta\mathrm{Z} + \mathrm{AH})$$

because ΔΖ is parallel to ΑΗ,[a] while the square of the radius of Λ is equal to ΑΒ . ΑΗ, the square of the radius of Κ is equal to ΒΔ . ΔΖ, and the square of the radius of Θ is equal to ΔΑ . (ΔΖ + ΑΗ), therefore the square on the radius of the circle Λ is equal to the sum of the squares on the radii of the circles Κ, Θ ; so that the circle Λ is equal to the sum of the circles

[a] The proof is given by Eutocius as follows :

	$\mathrm{BA} : \mathrm{AH} = \mathrm{B}\Delta : \Delta\mathrm{Z}$	
∴	$\mathrm{BA}\,.\,\Delta\mathrm{Z} = \mathrm{B}\Delta\,.\,\mathrm{AH}.$	[Eucl. vi. 16
But	$\mathrm{BA}\,.\,\Delta\mathrm{Z} = \mathrm{B}\Delta\,.\,\Delta\mathrm{Z} + \mathrm{A}\Delta\,.\,\Delta\mathrm{Z}.$	[Eucl. ii. 1
∴	$\mathrm{B}\Delta\,.\,\mathrm{AH} = \mathrm{B}\Delta\,.\,\Delta\mathrm{Z} + \mathrm{A}\Delta\,.\,\Delta\mathrm{Z}.$	
Let	ΔΑ . ΑΗ be added to both sides.	
Then	$\mathrm{B}\Delta\,.\,\mathrm{AH} + \Delta\mathrm{A} + \mathrm{AH},$	
i.e.	$\mathrm{BA}\,.\,\mathrm{AH} = \mathrm{B}\Delta\,.\,\Delta\mathrm{Z} + \mathrm{A}\Delta\,.\,\Delta\mathrm{Z} + \mathrm{A}\Delta\,.\,\mathrm{AH}.$	

ἀλλ' ὁ μὲν Λ ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ ΒΑΓ *κώνου, ὁ δὲ* Κ *τῇ ἐπιφανείᾳ τοῦ* ΔΒΕ *κώνου· λοιπὴ ἄρα ἡ ἐπιφάνεια τοῦ κώνου ἡ μεταξὺ τῶν παραλλήλων ἐπιπέδων τῶν* ΔΕ, ΑΓ *ἴση ἐστὶ τῷ* Θ *κύκλῳ.*

κα'

Ἐὰν εἰς κύκλον πολύγωνον ἐγγραφῇ ἀρτιοπλευρόν τε καὶ ἰσόπλευρον, καὶ διαχθῶσιν εὐθεῖαι ἐπιζευγνύουσαι τὰς πλευρὰς τοῦ πολυγώνου, ὥστε αὐτὰς παραλλήλους εἶναι μιᾷ ὁποιᾳοῦν τῶν ὑπὸ δύο πλευρὰς τοῦ πολυγώνου ὑποτεινουσῶν, αἱ ἐπιζευγνύουσαι πᾶσαι πρὸς τὴν τοῦ κύκλου διάμετρον τοῦτον ἔχουσι τὸν λόγον, ὃν ἔχει ἡ ὑποτείνουσα τὰς μιᾷ ἐλάσσονας τῶν ἡμίσεων πρὸς τὴν πλευρὰν τοῦ πολυγώνου.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, *καὶ ἐν αὐτῷ πολύγωνον ἐγγεγράφθω τὸ* ΑΕΖΒΗΘΓΜΝΔΛΚ, *καὶ ἐπεζεύχθωσαν αἱ* ΕΚ, ΖΛ, ΒΔ, ΗΝ, ΘΜ· *δῆλον δή, ὅτι παράλληλοί εἰσιν τῇ ὑπὸ δύο πλευρὰς τοῦ πολυγώνου ὑποτεινούσῃ· λέγω οὖν, ὅτι αἱ εἰρημέναι πᾶσαι πρὸς τὴν τοῦ κύκλου διάμετρον τὴν* ΑΓ *τὸν αὐτὸν λόγον ἔχουσι τῷ τῆς* ΓΕ *πρὸς* ΕΑ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΖΚ, ΛΒ, ΗΔ, ΘΝ· *παράλληλος ἄρα ἡ μὲν* ΖΚ *τῇ* ΕΑ, *ἡ δὲ* ΒΛ *τῇ* ΖΚ, *καὶ ἔτι ἡ μὲν* ΔΗ *τῇ* ΒΛ, *ἡ δὲ* ΘΝ *τῇ* ΔΗ, *καὶ ἡ* ΓΜ *τῇ* ΘΝ [*καὶ ἐπεὶ δύο παράλληλοί εἰσιν αἱ* ΕΑ, ΚΖ, *καὶ δύο διηγμέναι εἰσὶν αἱ* ΕΚ, ΑΟ][1]· *ἔστιν ἄρα, ὡς ἡ* ΕΞ *πρὸς* ΞΑ, *ὁ* ΚΞ *πρὸς* ΞΟ. *ὡς δ' ἡ* ΚΞ *πρὸς* ΞΟ, *ἡ* ΖΠ *πρὸς* ΠΟ, *ὡς δὲ*

[1] *καὶ ἐπεὶ* . . . ΕΚ, ΑΟ om. Heiberg.

K, Θ. But Λ is equal to the surface of the cone ΒΑΓ, while K is equal to the surface of the cone ΔΒΕ; therefore the remainder, the portion of the surface of the cone between the parallel planes ΔΕ, ΑΓ, is equal to the circle Θ.

Prop. 21

If a regular polygon with an even number of sides be inscribed in a circle, and straight lines be drawn joining the angles[a] *of the polygon, in such a manner as to be parallel to any one whatsoever of the lines subtended by two sides of the polygon, the sum of these connecting lines bears to the diameter of the circle the same ratio as the straight line subtended by half the sides less one bears to the side of the polygon.*

Let ΑΒΓΔ be a circle, and in it let the polygon ΑΕΖΒΗΘΓΜΝΔΛΚ be inscribed, and let ΕΚ, ΖΛ, ΒΔ, ΗΝ, ΘΜ be joined; then it is clear that they are parallel to a straight line subtended by two sides of the polygon[b]; I say therefore that the sum of the aforementioned straight lines bears to ΑΓ, the diameter of the circle, the same ratio as ΓΕ bears to ΕΑ.

For let ΖΚ, ΛΒ, ΗΔ, ΘΝ be joined; then ΖΚ is parallel to ΕΑ, ΒΛ to ΖΚ, also ΔΗ to ΒΛ, ΘΝ to ΔΗ and ΓΜ to ΘΝ[c]; therefore

$$\mathrm{E\Xi} : \mathrm{\Xi A} = \mathrm{K\Xi} : \mathrm{\Xi O}.$$

But $\mathrm{K\Xi} : \mathrm{\Xi O} = \mathrm{Z\Pi} : \mathrm{\Pi O}$, [Eucl. vi. 4

[a] "Sides" according to the text, but Heiberg thinks Archimedes probably wrote γωνίας where we have πλευράς.

[b] For, because the arcs ΚΛ, ΕΖ are equal, ∠ΕΚΖ = ∠ΚΖΛ [Eucl. iii. 27]; therefore ΕΚ is parallel to ΛΖ; and so on.

[c] For, as the arcs ΑΚ, ΕΖ are equal, ∠ΑΕΚ = ∠ΕΚΖ, and therefore ΑΕ is parallel to ΖΚ; and so on.

ἡ ΖΠ *πρὸς* ΠΟ, *ἡ* ΛΠ *πρὸς* ΠΡ, *ὡς δὲ ἡ* ΛΠ *πρὸς* ΠΡ, *οὕτως ἡ* ΒΣ *πρὸς* ΣΡ, *καὶ ἔτι, ὡς ἡ μὲν* ΒΣ *πρὸς* ΣΡ, *ἡ* ΔΣ *πρὸς* ΣΤ, *ὡς δὲ ἡ* ΔΣ *πρὸς* ΣΤ, *ἡ* ΗΥ *πρὸς* ΥΤ, *καὶ ἔτι, ὡς ἡ μὲν* ΗΥ



πρὸς ΥΤ, *ἡ* ΝΥ *πρὸς* ΥΦ, *ὡς δὲ ἡ* ΝΥ *πρὸς* ΥΦ, *ἡ* ΘΧ *πρὸς* ΧΦ, *καὶ ἔτι, ὡς μὲν ἡ* ΘΧ *πρὸς* ΧΦ, *ἡ* ΜΧ *πρὸς* ΧΓ [*καὶ πάντα ἄρα πρὸς πάντα ἐστίν, ὡς εἷς τῶν λόγων πρὸς ἕνα*][1]· *ὡς ἄρα ἡ* ΕΞ *πρὸς* ΞΑ, *οὕτως αἱ* ΕΚ, ΖΛ, ΒΔ, ΗΝ, ΘΜ *πρὸς τὴν* ΑΓ *διάμετρον. ὡς δὲ ἡ* ΕΞ *πρὸς* ΞΑ, *οὕτως ἡ* ΓΕ *πρὸς* ΕΑ· *ἔσται ἄρα καί, ὡς ἡ* ΓΕ *πρὸς* ΕΑ, *οὕτω πᾶσαι αἱ* ΕΚ, ΖΛ, ΒΔ, ΗΝ, ΘΜ *πρὸς τὴν* ΑΓ *διάμετρον.*

[1] *καὶ . . . ἕνα* om. Heiberg.

while	$Z\Pi : \Pi O = \Lambda\Pi : \Pi P$,	[*ibid.*
and	$\Lambda\Pi : \Pi P = B\Sigma : \Sigma P$.	[*ibid.*
Again,	$B\Sigma : \Sigma P = \Delta\Sigma : \Sigma T$,	[*ibid.*
while	$\Delta\Sigma : \Sigma T = H\Upsilon : \Upsilon T$.	[*ibid.*
Again,	$H\Upsilon : \Upsilon T = N\Upsilon : \Upsilon\Phi$,	[*ibid.*
while	$N\Upsilon : \Upsilon\Phi = \Theta X : X\Phi$.	[*ibid.*
Again,	$\Theta X : X\Phi = MX : X\Gamma$,	[*ibid.*
therefore	$E\Xi : \Xi A = EK + Z\Lambda + B\Delta + HN + \Theta M : A\Gamma$.[a]	[Eucl. v. 12
But	$E\Xi : \Xi A = \Gamma E : EA$;	[Eucl. vi. 4
therefore	$\Gamma E : EA = EK + Z\Lambda + B\Delta + HN + \Theta M : A\Gamma$.[b]	

[a] By adding all the antecedents and consequents, for

$$E\Xi : \Xi A = E\Xi + K\Xi + Z\Pi + \Lambda\Pi + B\Sigma + \Delta\Sigma + H\Upsilon + N\Upsilon + \Theta X + MX : \Xi A + \Xi O + \Pi O + \Pi P + \Sigma P + \Sigma T + \Upsilon T + \Upsilon\Phi + X\Phi + X\Gamma$$
$$= EK + Z\Lambda + B\Delta + HN + \Theta M : A\Gamma.$$

[b] If the polygon has $4n$ sides, then

$$\angle E\Gamma K = \frac{\pi}{2n} \quad \text{and} \quad EK : A\Gamma = \sin\frac{\pi}{2n},$$

$$\angle Z\Gamma\Lambda = \frac{2\pi}{2n} \quad \text{and} \quad Z\Lambda : A\Gamma = \sin\frac{2\pi}{2n},$$

$$\angle \Theta\Gamma M = (2n-1)\frac{\pi}{2n} \text{ and } \Theta M : A\Gamma = \sin(2n-1)\frac{\pi}{2n}.$$

. . .

Further, $\angle A\Gamma E = \frac{\pi}{4n}$ and $\Gamma E : EA = \cot\frac{\pi}{4n}$.

Therefore the proposition shows that

$$\sin\frac{\pi}{2n} + \sin\frac{2\pi}{2n} + \ldots + \sin(2n-1)\frac{\pi}{2n} = \cot\frac{\pi}{4n}.$$

κγ′

Ἔστω ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΒΓΔ, καὶ ἐγγεγράφθω εἰς αὐτὸν πολύγωνον ἰσόπλευρον, τὸ



δὲ πλῆθος τῶν πλευρῶν αὐτοῦ μετρείσθω ὑπὸ τετράδος, αἱ δὲ ΑΓ, ΔΒ διάμετροι ἔστωσαν. ἐὰν δὴ μενούσης τῆς ΑΓ διαμέτρου περιενεχθῇ ὁ ΑΒΓΔ κύκλος ἔχων τὸ πολύγωνον, δῆλον, ὅτι ἡ μὲν περιφέρεια αὐτοῦ κατὰ τῆς ἐπιφανείας τῆς σφαίρας ἐνεχθήσεται, αἱ δὲ τοῦ πολυγώνου γωνίαι χωρὶς τῶν πρὸς τοῖς Α, Γ σημείοις κατὰ κύκλων περιφερειῶν ἐνεχθήσονται ἐν τῇ ἐπιφανείᾳ τῆς σφαίρας γεγραμμένων ὀρθῶν πρὸς τὸν ΑΒΓΔ κύκλον· διάμετροι δὲ αὐτῶν ἔσονται αἱ ἐπιζευγνύουσαι τὰς γωνίας τοῦ πολυγώνου παρὰ τὴν ΒΔ οὖσαι. αἱ δὲ τοῦ πολυγώνου πλευραὶ κατά τινων κώνων ἐνεχθήσονται, αἱ μὲν ΑΖ, ΑΝ κατ᾿ ἐπιφανείας κώνου, οὗ βάσις μὲν ὁ κύκλος ὁ περὶ διάμετρον τὴν ΖΝ, κορυφὴ δὲ τὸ Α σημεῖον, αἱ δὲ

Prop. 23

Let ΑΒΓΔ be the greatest circle in a sphere, and let there be inscribed in it an equilateral polygon, the number of whose sides is divisible by four, and let ΑΓ, ΔΒ be diameters. If the diameter ΑΓ remain stationary and the circle ΑΒΓΔ containing the polygon be rotated, it is clear that the circumference of the circle will traverse the surface of the sphere, while the angles of the polygon, except those at the points Α, Γ, will traverse the circumferences of circles described on the surface of the sphere at right angles to the circle ΑΒΓΔ; their diameters will be the [straight lines] joining the angles of the polygon, being parallel to ΒΔ. Now the sides of the polygon will traverse certain cones; ΑΖ, ΑΝ will traverse the surface of a cone whose base is the circle about the diameter ΖΝ and whose vertex is the point Α; ΖΗ, ΖΗ, ΜΝ κατά τινος κωνικῆς ἐπιφανείας οἰσθήσονται, ἧς βάσις μὲν ὁ κύκλος ὁ περὶ διάμετρον τὴν ΜΗ, κορυφὴ δὲ τὸ σημεῖον, καθ' ὃ συμβάλλουσιν ἐκβαλλόμεναι αἱ ΖΗ, ΜΝ ἀλλήλαις τε καὶ τῇ ΑΓ, αἱ δὲ ΒΗ, ΜΔ πλευραὶ κατὰ κωνικῆς ἐπιφανείας οἰσθήσονται, ἧς βάσις μέν ἐστιν ὁ κύκλος ὁ περὶ διάμετρον τὴν ΒΔ ὀρθὸς πρὸς τὸν ΑΒΓΔ κύκλον, κορυφὴ δὲ τὸ σημεῖον, καθ' ὃ συμβάλλουσιν ἐκβαλλόμεναι αἱ ΒΗ, ΔΜ ἀλλήλαις τε καὶ τῇ ΓΑ· ὁμοίως δὲ καὶ αἱ ἐν τῷ ἑτέρῳ ἡμικυκλίῳ πλευραὶ κατὰ κωνικῶν ἐπιφανειῶν οἰσθήσονται πάλιν ὁμοίων ταύταις. ἔσται δή τι σχῆμα ἐγγεγραμμένον ἐν τῇ σφαίρᾳ ὑπὸ κωνικῶν ἐπιφανειῶν περιεχόμενον τῶν προειρημένων, οὗ ἡ ἐπιφάνεια ἐλάσσων ἔσται τῆς ἐπιφανείας τῆς σφαίρας.

Διαιρεθείσης γὰρ τῆς σφαίρας ὑπὸ τοῦ ἐπιπέδου τοῦ κατὰ τὴν ΒΔ ὀρθοῦ πρὸς τὸν ΑΒΓΔ κύκλον ἡ ἐπιφάνεια τοῦ ἑτέρου ἡμισφαιρίου καὶ ἡ ἐπιφάνεια τοῦ σχήματος τοῦ ἐν αὐτῷ ἐγγεγραμμένου τὰ αὐτὰ πέρατα ἔχουσιν ἐν ἑνὶ ἐπιπέδῳ· ἀμφοτέρων γὰρ τῶν ἐπιφανειῶν πέρας ἐστὶν τοῦ κύκλου ἡ περιφέρεια τοῦ περὶ διάμετρον τὴν ΒΔ ὀρθοῦ πρὸς τὸν ΑΒΓΔ κύκλον· καί εἰσιν ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαι, καὶ περιλαμβάνεται αὐτῶν ἡ ἑτέρα ὑπὸ τῆς ἑτέρας ἐπιφανείας καὶ τῆς ἐπιπέδου τῆς τὰ αὐτὰ πέρατα ἐχούσης αὐτῇ. ὁμοίως δὲ καὶ τοῦ ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ σχήματος ἡ ἐπιφάνεια ἐλάσσων ἐστὶν τῆς τοῦ ἡμισφαιρίου ἐπιφανείας· καὶ ὅλη οὖν ἡ ἐπιφάνεια τοῦ σχήματος τοῦ ἐν τῇ σφαίρᾳ ἐλάσσων ἐστὶν τῆς ἐπιφανείας τῆς σφαίρας.

---

[a] Archimedes would not have omitted to make the deduc-

MN will traverse the surface of a certain cone whose base is the circle about the diameter MH and whose vertex is the point in which ZH, MN produced meet one another and with AΓ; the sides BH, MΔ will traverse the surface of a cone whose base is the circle about the diameter BΔ at right angles to the circle ABΓΔ and whose vertex is the point in which BH, ΔM produced meet one another and with ΓA; in the same way the sides in the other semicircle will traverse surfaces of cones similar to these. As a result there will be inscribed in the sphere and bounded by the aforesaid surfaces of cones a figure whose surface will be less than the surface of the sphere.

For, if the sphere be cut by the plane through BΔ at right angles to the circle ABΓΔ, the surface of one of the hemispheres and the surface of the figure inscribed in it have the same extremities in one plane; for the extremity of both surfaces is the circumference of the circle about the diameter BΔ at right angles to the circle ABΓΔ; and both are concave in the same direction, and one of them is included by the other surface and the plane having the same extremities with it.[a] Similarly the surface of the figure inscribed in the other hemisphere is less than the surface of the hemisphere; and therefore the whole surface of the figure in the sphere is less than the surface of the sphere.

tion, from Postulate 4, that the surface of the figure inscribed in the hemisphere is less than the surface of the hemisphere.

κδ΄

Ἡ τοῦ ἐγγραφομένου σχήματος εἰς τὴν σφαῖραν ἐπιφάνεια ἴση ἐστὶ κύκλῳ, οὗ ἡ ἐκ τοῦ κέντρου δύναται τὸ περιεχόμενον ὑπό τε τῆς πλευρᾶς τοῦ σχήματος καὶ τῆς ἴσης πάσαις ταῖς ἐπιζευγνυούσαις τὰς πλευρὰς τοῦ πολυγώνου παραλλήλοις οὔσαις τῇ ὑπὸ δύο πλευρὰς τοῦ πολυγώνου ὑποτεινούσῃ εὐθείᾳ.

Ἔστω ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΒΓΔ, καὶ ἐν αὐτῷ πολύγωνον ἐγγεγράφθω ἰσόπλευρον, οὗ αἱ πλευραὶ ὑπὸ τετράδος μετροῦνται, καὶ ἀπὸ τοῦ πολυγώνου τοῦ ἐγγεγραμμένου νοείσθω τι εἰς τὴν σφαῖραν ἐγγραφὲν σχῆμα, καὶ ἐπεζεύχθωσαν αἱ ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ παράλληλοι οὖσαι τῇ ὑπὸ δύο πλευρὰς ὑποτεινούσῃ εὐθείᾳ, κύκλος δέ τις ἐκκείσθω ὁ Ξ, οὗ ἡ ἐκ τοῦ κέντρου δυνάσθω τὸ περιεχόμενον ὑπό τε τῆς ΑΕ καὶ τῆς ἴσης ταῖς ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ· λέγω, ὅτι ὁ κύκλος οὗτος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ εἰς τὴν σφαῖραν ἐγγραφομένου σχήματος.

Ἐκκείσθωσαν γὰρ κύκλοι οἱ Ο, Π, Ρ, Σ, Τ, Υ, καὶ τοῦ μὲν Ο ἡ ἐκ τοῦ κέντρου δυνάσθω τὸ περιεχόμενον ὑπό τε τῆς ΕΑ καὶ τῆς ἡμισείας τῆς ΕΖ, ἡ δὲ ἐκ τοῦ κέντρου τοῦ Π δυνάσθω τὸ περιεχόμενον ὑπό τε τῆς ΕΑ καὶ τῆς ἡμισείας τῶν ΕΖ, ΗΘ, ἡ δὲ ἐκ τοῦ κέντρου τοῦ Ρ δυνάσθω τὸ περιεχόμενον ὑπὸ τῆς ΕΑ καὶ τῆς ἡμισείας τῶν ΗΘ, ΓΔ, ἡ δὲ ἐκ τοῦ κέντρου τοῦ Σ δυνάσθω τὸ περιεχόμενον ὑπό τε τῆς ΕΑ καὶ τῆς ἡμισείας τῶν ΓΔ, ΚΛ, ἡ δὲ ἐκ τοῦ κέντρου τοῦ Τ δυνάσθω τὸ περιεχόμενον ὑπό τε τῆς ΑΕ καὶ τῆς ἡμισείας

Prop. 24

The surface of the figure inscribed in the sphere is equal to a circle, the square of whose radius is equal to the rectangle contained by the side of the figure and a straight line equal to the sum of the straight lines joining the angles of the polygon, being parallel to the straight line subtended by two sides of the polygon.

Let ΑΒΓΔ be the greatest circle in a sphere, and in it let there be inscribed an equilateral polygon, the number of whose sides is divisible by four, and, starting from the inscribed polygon, let there be imagined a figure inscribed in the sphere, and let ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ be joined, being parallel to the straight line subtended by two sides; now let there be set out a circle Ξ, the square of whose radius is equal to the rectangle contained by ΑΕ and a straight line equal to the sum of ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ; I say that this circle is equal to the surface of the figure inscribed in the sphere.

For let the circles Ο, Π, Ρ, Σ, Τ, Υ be set out, and let the square of the radius of Ο be equal to the rectangle contained by ΕΑ and the half of ΕΖ, let the square of the radius of Π be equal to the rectangle contained by ΕΑ and the half of ΕΖ + ΗΘ, let the square of the radius of Ρ be equal to the rectangle contained by ΕΑ and the half of ΗΘ + ΓΔ, let the square of the radius of Σ be equal to the rectangle contained by ΕΑ and the half of ΓΔ + ΚΛ, let the square of the radius of Τ be equal to the rectangle τῶν ΚΛ, ΜΝ, ἡ δὲ ἐκ τοῦ κέντρου τοῦ Υ δυνάσθω τὸ περιεχόμενον ὑπό τε τῆς ΑΕ καὶ τῆς ἡμισείας τῆς ΜΝ. διὰ δὴ ταῦτα ὁ μὲν Ο κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ ΑΕΖ κώνου, ὁ δὲ Π τῇ ἐπιφανείᾳ τοῦ κώνου τῇ μεταξὺ τῶν ΕΖ, ΗΘ, ὁ δὲ Ρ τῇ μεταξὺ τῶν ΗΘ, ΓΔ, ὁ δὲ Σ τῇ μεταξὺ τῶν



ΔΓ, ΚΛ, καὶ ἔτι ὁ μὲν Τ ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ κώνου τῇ μεταξὺ τῶν ΚΛ, ΜΝ, ὁ δὲ Υ τῇ τοῦ ΜΒΝ κώνου ἐπιφανείᾳ ἴσος ἐστίν· οἱ πάντες ἄρα κύκλοι ἴσοι εἰσὶν τῇ τοῦ ἐγγεγραμμένου σχήματος ἐπιφανείᾳ. καὶ φανερόν, ὅτι αἱ ἐκ τῶν κέντρων τῶν Ο, Π, Ρ, Σ, Τ, Υ κύκλων δύνανται τὸ περιεχόμενον ὑπό τε τῆς ΑΕ καὶ δὶς τῶν ἡμίσεων τῆς ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ, αἳ ὅλαι εἰσὶν contained by AE and the half of ΚΛ + MN, and let the square of the radius of Υ be equal to the rect angle contained by AE and the half of MN. Now by these constructions the circle O is equal to the surface of the cone AEZ [Prop. 14], the circle Π is equal to the surface of the conical frustum between EZ and HΘ, the circle P is equal to the surface of the conical frustum between HΘ and ΓΔ, the circle Σ is



equal to the surface of the conical frustum between ΔΓ and ΚΛ, the circle T is equal to the surface of the conical frustum between ΚΛ, MN [Prop. 16], and the circle Υ is equal to the surface of the cone MBN [Prop. 14]; the sum of the circles is therefore equal to the surface of the inscribed figure. And it is manifest that the sum of the squares of the radii of the circles O, Π, P, Σ, T, Υ is equal to the rectangle contained by AE and twice the sum of the halves of EZ, HΘ, ΓΔ, ΚΛ, MN, that is to say, the sum of EZ, *αἱ* ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ· *αἱ ἄρα ἐκ τῶν κέντρων τῶν* Ο, Π, Ρ, Σ, Τ, Υ *κύκλων δύνανται τὸ περιεχόμενον ὑπό τε τῆς* ΑΕ *καὶ πασῶν τῶν* ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ. *ἀλλὰ καὶ ἡ ἐκ τοῦ κέντρου τοῦ* Ξ *κύκλου δύναται τὸ ὑπὸ τῆς* ΑΕ *καὶ τῆς συγκειμένης ἐκ πασῶν τῶν* ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ· *ἡ ἄρα ἐκ τοῦ κέντρου τοῦ* Ξ *κύκλου δύναται τὰ ἀπὸ τῶν ἐκ τῶν κέντρων τῶν* Ο, Π, Ρ, Σ, Τ, Υ *κύκλων· καὶ ὁ κύκλος ἄρα ὁ* Ξ *ἴσος ἐστὶ τοῖς* Ο, Π, Ρ, Σ, Τ, Υ *κύκλοις. οἱ δὲ* Ο, Π, Ρ, Σ, Τ, Υ *κύκλοι ἀπεδείχθησαν ἴσοι τῇ εἰρημένῃ τοῦ σχήματος ἐπιφανείᾳ· καὶ ὁ* Ξ *ἄρα κύκλος ἴσος ἔσται τῇ ἐπιφανείᾳ τοῦ σχήματος.*

κε΄

Τοῦ *ἐγγεγραμμένου σχήματος εἰς τὴν σφαῖραν ἡ ἐπιφάνεια ἡ περιεχομένη ὑπὸ τῶν κωνικῶν ἐπιφανειῶν ἐλάσσων ἐστὶν ἢ τετραπλασία τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ.*

Ἔστω *ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ* ΑΒΓΔ, *καὶ ἐν αὐτῷ ἐγγεγράφθω πολύγωνον [ἀρτιόγωνον] ἰσόπλευρον, οὗ αἱ πλευραὶ ὑπὸ τετράδος μετροῦνται, καὶ ἀπ᾽ αὐτοῦ νοείσθω ἐπιφάνεια ἡ ὑπὸ τῶν*

---

[a] If the radius of the sphere is a this proposition shows that

$$\text{Surface of inscribed figure} = \text{circle } \Xi$$
$$= \pi \,.\, \mathrm{AE} \,.\, (\mathrm{EZ} + \mathrm{H\Theta} + \Gamma\Delta + \mathrm{K\Lambda} + \mathrm{MN}).$$

Now $\mathrm{AE} = 2a \sin \frac{\pi}{4n}$, and by p. 91 n. *b*

HΘ, ΓΔ, ΚΛ, ΜΝ ; therefore the sum of the squares of the radii of the circles Ο, Π, Ρ, Σ, Τ, Υ is equal to the rectangle contained by ΑΕ and the sum of ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ. But the square of the radius of the circle Ξ is equal to the rectangle contained by ΑΕ and a straight line made up of ΕΖ, ΗΘ, ΓΔ, ΚΛ, ΜΝ [*ex hypothesi*] ; therefore the square of the radius of the circle Ξ is equal to the sum of the squares of the radii of the circles Ο, Π, Ρ, Σ, Τ, Υ ; and therefore the circle Ξ is equal to the sum of the circles Ο, Π, Ρ, Σ, Τ, Υ. Now the sum of the circles Ο, Π, Ρ, Σ, Τ, Υ was shown to be equal to the surface of the aforesaid figure ; and therefore the circle Ξ will be equal to the surface of the figure.[a]

Prop. 25

The surface of the figure inscribed in the sphere and bounded by the surfaces of cones is less than four times the greatest of the circles in the sphere.

Let ΑΒΓΔ be the greatest circle in a sphere, and in it let there be inscribed an equilateral polygon, the number of whose sides is divisible by four, and, starting from it, let a surface bounded by surfaces of

$$\mathrm{EZ}+\mathrm{H\Theta}+\Gamma\Delta+\mathrm{K\Lambda}+\mathrm{MN}=2a\left[\sin\frac{\pi}{2n}+\sin\frac{2\pi}{2n}+\ldots+\sin(2n-1)\frac{\pi}{2n}\right].$$

$$\therefore \text{ Surface of inscribed figure}=4\pi a^2\sin\frac{\pi}{4n}\left[\sin\frac{\pi}{2n}+\sin\frac{2\pi}{2n}+\ldots+\sin(2n-1)\frac{\pi}{2n}\right]$$

$$=4\pi a^2\cos\frac{\pi}{4n}$$

[by p. 91 n. *b*.

κωνικῶν ἐπιφανειῶν περιεχομένη· λέγω, ὅτι ἡ ἐπιφάνεια τοῦ ἐγγραφέντος ἐλάσσων ἐστὶν ἢ τετραπλασία τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ὑπὸ δύο πλευρὰς ὑποτείνουσαι τοῦ πολυγώνου αἱ ΕΙ, ΘΜ καὶ ταύταις παράλληλοι αἱ ΖΚ, ΔΒ, ΗΛ, ἐκκείσθω δέ τις κύκλος ὁ Ρ, οὗ ἡ ἐκ τοῦ κέντρου δύναται τὸ ὑπὸ τῆς ΕΑ καὶ τῆς ἴσης πάσαις ταῖς ΕΙ, ΖΚ, ΒΔ, ΗΛ, ΘΜ· διὰ δὴ τὸ προδειχθὲν ἴσος ἐστὶν ὁ κύκλος τῇ τοῦ εἰρημένου σχήματος ἐπιφανείᾳ. καὶ ἐπεὶ ἐδείχθη, ὅτι ἐστίν, ὡς ἡ ἴση πάσαις ταῖς ΕΙ, ΖΚ, ΒΔ, ΗΛ, ΘΜ πρὸς τὴν διάμετρον τοῦ κύκλου τὴν ΑΓ, οὕτως ἡ ΓΕ πρὸς ΕΑ, τὸ ἄρα ὑπὸ τῆς ἴσης πάσαις ταῖς εἰρημέναις καὶ τῆς ΕΑ, τουτέστιν τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ Ρ κύκλου, ἴσον ἐστὶν τῷ ὑπὸ τῶν ΑΓ, ΓΕ. ἀλλὰ καὶ τὸ ὑπὸ ΑΓ, ΓΕ ἔλασσόν ἐστι τοῦ ἀπὸ τῆς ΑΓ· ἔλασσον ἄρα ἐστὶν τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ Ρ τοῦ ἀπὸ τῆς ΑΓ [ἐλάσσων ἄρα ἐστὶν ἡ ἐκ τοῦ κέντρου τοῦ Ρ τῆς ΑΓ· ὥστε ἡ διάμετρος τοῦ Ρ κύκλου ἐλάσσων ἐστὶν ἢ διπλασία τῆς διαμέτρου τοῦ ΑΒΓΔ κύκλου, καὶ δύο ἄρα τοῦ ΑΒΓΔ κύκλου διάμετροι μείζους εἰσὶ τῆς διαμέτρου τοῦ Ρ κύκλου, καὶ τὸ τετράκις ἀπὸ τῆς διαμέτρου τοῦ ΑΒΓΔ κύκλου, τουτέστι τῆς ΑΓ, μεῖζόν ἐστι τοῦ ἀπὸ τῆς τοῦ Ρ κύκλου διαμέτρου. ὡς δὲ τὸ τετράκις ἀπὸ τῆς ΑΓ πρὸς τὸ ἀπὸ τῆς τοῦ Ρ κύκλου διαμέτρου, οὕτως τέσσαρες κύκλοι οἱ ΑΒΓΔ πρὸς τὸν Ρ κύκλον· τέσσαρες ἄρα κύκλοι οἱ ΑΒΓΔ μείζους εἰσὶν τοῦ Ρ κύκλου][1]· ὁ ἄρα κύκλος ὁ Ρ ἐλάσσων ἐστὶν ἢ τετραπλάσιος τοῦ

[1] *ἐλάσσων . . . κύκλου* om. Heiberg.

cones be imagined ; I say that the surface of the inscribed figure is less than four times the greatest of the circles inscribed in the sphere.

For let EI, ΘM, subtended by two sides of the polygon, be joined, and let ZK, ΔB, HΛ be parallel



to them, and let there be set out a circle P, the square of whose radius is equal to the rectangle contained by EA and a straight line equal to the sum of EI, ZK, BΔ, HΛ, ΘM ; by what has been proved above, the circle is equal to the surface of the aforesaid figure. And since it was proved that the ratio of the sum of EI, ZK, BΔ, HΛ, ΘM to AΓ, the diameter of the circle, is equal to the ratio of ΓE to EA [Prop. 21], therefore

$$\mathrm{EA} \,.\, (\mathrm{EI} + \mathrm{ZK} + \mathrm{B\Delta} + \mathrm{H\Lambda} + \Theta\mathrm{M})$$

that is, the square on the radius of the circle P

[*ex hyp.*

$$= \mathrm{A\Gamma} \,.\, \Gamma\mathrm{E}. \qquad \text{[Eucl. vi. 16}$$

But $\mathrm{A\Gamma} \,.\, \Gamma\mathrm{E} < \mathrm{A\Gamma}^2.$ [Eucl. iii. 15

Therefore the square on the radius of P is less than the square on AΓ ; therefore the circle P is less μεγιστου κύκλου. ὁ δὲ Ρ κύκλος ἴσος ἐδείχθη τῇ εἰρημένῃ ἐπιφανείᾳ τοῦ σχήματος· ἡ ἄρα ἐπιφάνεια τοῦ σχήματος ἐλάσσων ἐστὶν ἢ τετραπλασία τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ.

κη′

Ἔστω ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΒΓΔ, περὶ δὲ τὸν ΑΒΓΔ κύκλον περιγεγράφθω πολύγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον, τὸ δὲ πλῆθος τῶν πλευρῶν αὐτοῦ μετρείσθω ὑπὸ τετράδος, τὸ δὲ περὶ τὸν κύκλον περιγεγραμμένον πολύγωνον κύκλος περιγεγραμμένος περιλαμβανέτω περὶ τὸ αὐτὸ κέντρον γινόμενος τῷ ΑΒΓΔ. μενούσης δὴ τῆς ΕΗ περιενεχθήτω τὸ ΕΖΗΘ ἐπίπεδον, ἐν ᾧ τό τε πολύγωνον καὶ ὁ κύκλος· δῆλον οὖν, ὅτι ἡ μὲν περιφέρεια τοῦ ΑΒΓΔ κύκλου κατὰ τῆς ἐπιφανείας τῆς σφαίρας οἰσθήσεται, ἡ δὲ περιφέρεια τοῦ ΕΖΗΘ κατ᾽ ἄλλης ἐπιφανείας σφαίρας τὸ than four times the greatest circle. But the circle P was proved equal to the aforesaid surface of the figure; therefore the surface of the figure is less than four times the greatest of the circles in the sphere.

Prop. 28

Let ΑΒΓΔ be the greatest circle in a sphere, and about the circle ΑΒΓΔ let there be circumscribed



an equilateral and equiangular polygon, the number of whose sides is divisible by four, and let a circle be described about the polygon circumscribing the circle, having the same centre as ΑΒΓΔ. While EH remains stationary, let the plane ΕΖΗΘ, in which lie both the polygon and the circle, be rotated; it is clear that the circumference of the circle ΑΒΓΔ will traverse the surface of the sphere, while the circumference of ΕΖΗΘ will traverse the surface of another αὐτὸ κέντρον ἐχούσης τῇ ἐλάσσονι οἰσθήσεται, αἱ δὲ ἁφαί, καθ' ἃς ἐπιψαύουσιν αἱ πλευραί, γράφουσιν κύκλους ὀρθοὺς πρὸς τὸν ΑΒΓΔ κύκλον ἐν τῇ ἐλάσσονι σφαίρᾳ, αἱ δὲ γωνίαι τοῦ πολυγώνου χωρὶς τῶν πρὸς τοῖς Ε, Η σημείοις κατὰ κύκλων περιφερειῶν οἰσθήσονται ἐν τῇ ἐπιφανείᾳ τῆς μείζονος σφαίρας γεγραμμένων ὀρθῶν πρὸς τὸν ΕΖΗΘ κύκλον, αἱ δὲ πλευραὶ τοῦ πολυγώνου κατὰ κωνικῶν ἐπιφανειῶν οἰσθήσονται, καθάπερ ἐπὶ τῶν πρὸ τούτου· ἔσται οὖν τὸ σχῆμα τὸ περιεχόμενον ὑπὸ τῶν ἐπιφανειῶν τῶν κωνικῶν περὶ μὲν τὴν ἐλάσσονα σφαῖραν περιγεγραμμένον, ἐν δὲ τῇ μείζονι ἐγγεγραμμένον. ὅτι δὲ ἡ ἐπιφάνεια τοῦ περιγεγραμμένου σχήματος μείζων ἐστὶ τῆς ἐπιφανείας τῆς σφαίρας, οὕτως δειχθήσεται.

Ἔστω γὰρ ἡ ΚΔ διάμετρος κύκλου τινὸς τῶν ἐν τῇ ἐλάσσονι σφαίρᾳ τῶν Κ, Δ σημείων ὄντων, καθ' ἃ ἅπτονται τοῦ ΑΒΓΔ κύκλου αἱ πλευραὶ[1] τοῦ περιγεγραμμένου πολυγώνου. διῃρημένης δὴ τῆς σφαίρας ὑπὸ τοῦ ἐπιπέδου τοῦ κατὰ τὴν ΚΔ ὀρθοῦ πρὸς τὸν ΑΒΓΔ κύκλον καὶ ἡ ἐπιφάνεια τοῦ περιγεγραμμένου σχήματος περὶ τὴν σφαῖραν διαιρεθήσεται ὑπὸ τοῦ ἐπιπέδου. καὶ φανερόν, ὅτι τὰ αὐτὰ πέρατα ἔχουσιν ἐν ἐπιπέδῳ· ἀμφοτέρων γὰρ τῶν ἐπιπέδων πέρας ἐστὶν ἡ τοῦ κύκλου περιφέρεια τοῦ περὶ διάμετρον τὴν ΚΔ ὀρθοῦ πρὸς τὸν ΑΒΓΔ κύκλον· καί εἰσιν ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαι, καὶ περιλαμβάνεται ἡ ἑτέρα αὐτῶν ὑπὸ τῆς ἑτέρας ἐπιφανείας καὶ τῆς ἐπιπέδου τῆς τὰ αὐτὰ πέρατα ἐχούσης· ἐλάσσων οὖν ἐστιν ἡ περιλαμβανομένη τοῦ τμήματος τῆς σφαίρας ἐπιφάνεια τῆς ἐπιφανείας τοῦ σχήματος τοῦ περιsphere, having the same centre as the lesser sphere ; the points of contact in which the sides touch [the smaller circle] will describe circles on the lesser sphere at right angles to the circle ΑΒΓΔ, and the angles of the polygon, except those at the points E, H will traverse the circumferences of circles on the surface of the greater sphere at right angles to the circle EZHΘ, while the sides of the polygon will traverse surfaces of cones, as in the former case ; there will therefore be a figure, bounded by surfaces of cones, described about the lesser sphere and inscribed in the greater. That the surface of the circumscribed figure is greater than the surface of the sphere will be proved thus.

Let ΚΔ be a diameter of one of the circles in the lesser sphere, K, Δ being points at which the sides of the circumscribed polygon touch the circle ΑΒΓΔ. Now, since the sphere is divided by the plane containing ΚΔ at right angles to the circle ΑΒΓΔ, the surface of the figure circumscribed about the sphere will be divided by the same plane. And it is manifest that they [a] have the same extremities in a plane ; for the extremity of both surfaces [b] is the circumference of the circle about the diameter ΚΔ at right angles to the circle ΑΒΓΔ ; and they are both concave in the same direction, and one of them is included by the other and the plane having the same extremities ; therefore the included surface of the segment of the sphere is less than the surface of

[a] *i.e.*, the surface formed by the revolution of the circular segment ΚΑΔ and the surface formed by the revolution of the portion K . . . E . . . Δ of the polygon.

[b] In the text ἐπιπέδων should obviously be ἐπιφανειῶν.

[1] *αἱ πλευραὶ* Heiberg ; om. codd.

γεγραμμένου περὶ αὐτήν. ὁμοίως δὲ καὶ ἡ τοῦ λοιποῦ τμήματος τῆς σφαίρας ἐπιφάνεια ἐλάσσων ἐστὶν τῆς ἐπιφανείας τοῦ σχήματος τοῦ περιγεγραμμένου περὶ αὐτήν· δῆλον οὖν, ὅτι καὶ ὅλη ἡ ἐπιφάνεια τῆς σφαίρας ἐλάσσων ἐστὶ τῆς ἐπιφανείας τοῦ σχήματος τοῦ περιγεγραμμένου περὶ αὐτήν.

κθʹ

Τῇ ἐπιφανείᾳ τοῦ περιγεγραμμένου σχήματος περὶ τὴν σφαῖραν ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴσον δύναται τῷ περιεχομένῳ ὑπό τε μιᾶς πλευρᾶς τοῦ πολυγώνου καὶ τῆς ἴσης πάσαις ταῖς ἐπιζευγνυούσαις τὰς γωνίας τοῦ πολυγώνου οὔσαις παρά τινα τῶν ὑπὸ δύο πλευρὰς τοῦ πολυγώνου ὑποτεινουσῶν.

Τὸ γὰρ περιγεγραμμένον περὶ τὴν ἐλάσσονα σφαῖραν ἐγγέγραπται εἰς τὴν μείζονα σφαῖραν· τοῦ δὲ ἐγγεγραμμένου ἐν τῇ σφαίρᾳ περιεχομένου ὑπὸ τῶν ἐπιφανειῶν τῶν κωνικῶν δέδεικται ὅτι τῇ ἐπιφανείᾳ ἴσος ἐστὶν ὁ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου δύναται τὸ περιεχόμενον ὑπό τε μιᾶς πλευρᾶς τοῦ πολυγώνου καὶ τῆς ἴσης πάσαις ταῖς ἐπιζευγνυούσαις τὰς γωνίας τοῦ πολυγώνου οὔσαις παρά τινα τῶν ὑπὸ δύο πλευρὰς ὑποτεινουσῶν· δῆλον οὖν ἐστι τὸ προειρημένον.

---

[a] If the radius of the inner sphere is a and that of the outer sphere a', and the regular polygon has $4n$ sides, then

$$a' = a \sec \frac{\pi}{4n}.$$

This proposition shows that

$$\frac{\text{Area of figure circumscribed}}{\text{to circle of radius } a} = \frac{\text{Area of figure inscribed in}}{\text{circle of radius } a'}$$

the figure circumscribed about it [Post. 4]. Similarly the surface of the remaining segment of the sphere is less than the surface of the figure circumscribed about it; it is clear therefore that the whole surface of the sphere is less than the surface of the figure circumscribed about it.

Prop. 29

The surface of the figure circumscribed about the sphere is equal to a circle, the square of whose radius is equal to the rectangle contained by one side of the polygon and a straight line equal to the sum of all the straight lines joining the angles of the polygon, being parallel to one of the straight lines subtended by two sides of the polygon.

For the figure circumscribed about the lesser sphere is inscribed in the greater sphere [Prop. 28]; and it has been proved that the surface of the figure inscribed in the sphere and formed by surfaces of cones is equal to a circle, the square of whose radius is equal to the rectangle contained by one side of the polygon and a straight line equal to the sum of all the straight lines joining the angles of the polygon, being parallel to one of the straight lines subtended by two sides [Prop. 24]; what was aforesaid is therefore obvious.[a]

$$=4\pi a'^2 \sin\frac{\pi}{4n}\left[\sin\frac{\pi}{2n}+\sin\frac{2\pi}{2n}+\ldots+\sin(2n-1)\frac{\pi}{2n}\right],$$

or $4\pi a'^2 \cos\frac{\pi}{4n}$ [by p. 91 n. *b*

$$=4\pi a^2 \sec^2\frac{\pi}{4n}\sin\frac{\pi}{4n}\left[\sin\frac{\pi}{2n}+\sin\frac{2\pi}{2n}+\ldots+\sin(2n-1)\frac{\pi}{2n}\right],$$

or $4\pi a^2 \sec\frac{\pi}{4n}$.

λ'

Τοῦ σχήματος τοῦ περιγεγραμμένου περὶ τὴν σφαῖραν ἡ ἐπιφάνεια μείζων ἐστὶν ἢ τετραπλασία τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ.

Ἔστω γὰρ ἥ τε σφαῖρα καὶ ὁ κύκλος καὶ τὰ ἄλλα τὰ αὐτὰ τοῖς πρότερον προκειμένοις, καὶ ὁ Λ κύκλος ἴσος τῇ ἐπιφανείᾳ ἔστω τοῦ προκειμένου περιγεγραμμένου περὶ τὴν ἐλάσσονα σφαῖραν.

Ἐπεὶ οὖν ἐν τῷ ΕΖΗΘ κύκλῳ πολύγωνον



ἰσόπλευρον ἐγγέγραπται καὶ ἀρτιογώνιον, αἱ ἐπιζευγνύουσαι τὰς τοῦ πολυγώνου πλευρὰς παράλληλοι οὖσαι τῇ ΖΘ πρὸς τὴν ΖΘ τὸν αὐτὸν λόγον ἔχουσιν, ὃν ἡ ΘΚ πρὸς ΚΖ· ἴσον ἄρα ἐστὶν τὸ περιεχόμενον σχῆμα ὑπό τε μιᾶς πλευρᾶς τοῦ πολυγώνου καὶ τῆς ἴσης πάσαις ταῖς ἐπιζευγνυούσαις τὰς γωνίας τοῦ πολυγώνου τῷ περιεχομένῳ ὑπὸ τῶν ΖΘΚ· ὥστε ἡ ἐκ τοῦ κέντρου τοῦ Λ κύκλου ἴσον δύναται τῷ ὑπὸ ΖΘΚ· μείζων ἄρα

Prop. 30

The surface of the figure circumscribed about the sphere is greater than four times the greatest of the circles in the sphere.

For let there be both the sphere and the circle and the other things the same as were posited before, and let the circle Λ be equal to the surface of the given figure circumscribed about the lesser sphere.

Therefore since in the circle EZHΘ there has been inscribed an equilateral polygon with an even number of angles, the [sum of the straight lines] joining the sides of the polygon, being parallel to ZΘ, have the same ratio to ZΘ as ΘK to KZ [Prop. 21]; therefore the rectangle contained by one side of the polygon and the straight line equal to the sum of the straight lines joining the angles of the polygon is equal to the rectangle contained by ZΘ, ΘK [Eucl. vi. 16]; so that the square of the radius of the circle Λ is equal to the rectangle contained by ZΘ, ΘK ἐστὶν ἡ ἐκ τοῦ κέντρου τοῦ Λ κύκλου τῆς ΘΚ. ἡ δὲ ΘΚ ἴση ἐστὶ τῇ διαμέτρῳ τοῦ ΑΒΓΔ κύκλου [διπλασία γάρ ἐστιν τῆς ΧΣ οὔσης ἐκ τοῦ κέντρου τοῦ ΑΒΓΔ κύκλου].[1] δῆλον οὖν, ὅτι μείζων ἐστὶν ἢ τετραπλάσιος ὁ Λ κύκλος, τουτέστιν ἡ ἐπιφάνεια τοῦ περιγεγραμμένου σχήματος περὶ τὴν ἐλάσσονα σφαῖραν, τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ.

λγ′

Πάσης σφαίρας ἡ ἐπιφάνεια τετραπλασία ἐστὶ τοῦ μεγίστου κύκλου τῶν ἐν αὐτῇ.

Ἔστω γὰρ σφαῖρά τις, καὶ ἔστω τετραπλάσιος τοῦ μεγίστου κύκλου ὁ Α· λέγω, ὅτι ὁ Α ἴσος ἐστὶν τῇ ἐπιφανείᾳ τῆς σφαίρας.

Εἰ γὰρ μή, ἤτοι μείζων ἐστὶν ἢ ἐλάσσων. ἔστω πρότερον μείζων ἡ ἐπιφάνεια τῆς σφαίρας τοῦ κύκλου. ἔστι δὴ δύο μεγέθη ἄνισα ἥ τε ἐπιφάνεια τῆς σφαίρας καὶ ὁ Α κύκλος· δυνατὸν ἄρα ἐστὶ λαβεῖν δύο εὐθείας ἀνίσους, ὥστε τὴν μείζονα πρὸς τὴν ἐλάσσονα λόγον ἔχειν ἐλάσσονα τοῦ, ὃν ἔχει ἡ

[1] διπλασία . . . κύκλου om. Heiberg.

---

[a] Because ΖΘ > ΘΚ [Eucl. iii. 15].

[Prop. 29]. Therefore the radius of the circle Λ is greater than ΘK.[a] Now ΘK is equal to the diameter of the circle ΑΒΓΔ; it is therefore clear that the circle Λ, that is, the surface of the figure circumscribed about the lesser sphere, is greater than four times the greatest of the circles in the sphere.

Prop. 33

The surface of any sphere is four times the greatest of the circles in it.

For let there be a sphere, and let A be four times the greatest circle; I say that A is equal to the surface of the sphere.

For if not, either it is greater or less. First, let the surface of the sphere be greater than the circle.



Then there are two unequal magnitudes, the surface of the sphere and the circle A; it is therefore possible to take two unequal straight lines so that the greater bears to the less a ratio less than that which the sur-

ἐπιφάνεια τῆς σφαίρας πρὸς τὸν κύκλον. εἰλήφθωσαν αἱ B, Γ, *καὶ τῶν* B, Γ *μέση ἀνάλογον ἔστω ἡ* Δ, *νοείσθω δὲ καὶ ἡ σφαῖρα ἐπιπέδῳ τετμημένη διὰ τοῦ κέντρου κατὰ τὸν* ΕΖΗΘ *κύκλον, νοείσθω δὲ καὶ εἰς τὸν κύκλον ἐγγεγραμμένον καὶ περιγεγραμμένον πολύγωνον, ὥστε ὅμοιον εἶναι τὸ περιγεγραμμένον τῷ ἐγγεγραμμένῳ πολυγώνῳ καὶ τὴν τοῦ περιγεγραμμένου πλευρὰν ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ἡ* B *πρὸς* Δ [*καὶ ὁ διπλάσιος ἄρα λόγος τοῦ διπλασίου λόγου ἐστὶν ἐλάσσων. καὶ τοῦ μὲν τῆς* B *πρὸς* Δ *διπλάσιός ἐστιν ὁ τῆς* B *πρὸς τὴν* Γ, *τῆς δὲ πλευρᾶς τοῦ περιγεγραμμένου πολυγώνου πρὸς τὴν πλευρὰν τοῦ ἐγγεγραμμένου διπλάσιος ὁ τῆς ἐπιφανείας τοῦ περιγεγραμμένου στερεοῦ πρὸς τὴν ἐπιφάνειαν τοῦ ἐγγεγραμμένου*][1]· *ἡ ἐπιφάνεια ἄρα τοῦ περιγεγραμμένου σχήματος περὶ τὴν σφαῖραν πρὸς τὴν ἐπιφάνειαν τοῦ ἐγγεγραμμένου σχήματος ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ἐπιφάνεια τῆς σφαίρας πρὸς τὸν* A *κύκλον· ὅπερ ἄτοπον· ἡ μὲν γὰρ ἐπιφάνεια τοῦ περιγεγραμμένου τῆς ἐπιφανείας τῆς σφαίρας μείζων ἐστίν, ἡ δὲ ἐπιφάνεια τοῦ ἐγγεγραμμένου σχήματος τοῦ* A *κύκλου ἐλάσσων ἐστί* [*δέδεικται γὰρ ἡ ἐπιφάνεια τοῦ ἐγγεγραμμένου ἐλάσσων τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ ἢ τετραπλασία, τοῦ δὲ μεγίστου κύκλου τετραπλάσιός ἐστιν ὁ* A *κύκλος*].[2] *οὐκ ἄρα ἡ ἐπιφάνεια τῆς σφαίρας μείζων ἐστὶ τοῦ* A *κύκλου.*

[1] *καὶ . . . ἐγγεγραμμένου* om. Heiberg.
[2] *δέδεικται . . . κύκλος* "repetitionem inutilem Prop. 25," om. Heiberg.

face of the sphere bears to the circle [Prop. 2]. Let B, Γ be so taken, and let Δ be a mean proportional between B, Γ, and let the sphere be imagined as cut



through the centre along the [plane of the] circle EZHΘ, and let there be imagined a polygon inscribed in the circle and another circumscribed about it in such a manner that the circumscribed polygon is similar to the inscribed polygon and the side of the circumscribed polygon has [to the side of the inscribed polygon] [a] a ratio less than that which B has to Δ [Prop. 3]. Therefore the surface of the figure circumscribed about the sphere has to the surface of the inscribed figure a ratio less than that which the surface of the sphere has to the circle A; which is absurd; for the surface of the circumscribed figure is greater than the surface of the sphere [Prop. 28], while the surface of the inscribed figure is less than the circle A [Prop. 25]. Therefore the surface of the sphere is not greater than the circle A.

[a] Archimedes would not have omitted: *πρὸς τὴν τοῦ ἐγγεγραμμένου.*

Λέγω δή, ὅτι οὐδὲ ἐλάσσων. εἰ γὰρ δυνατόν, ἔστω· καὶ ὁμοίως εὑρήσθωσαν αἱ Β, Γ εὐθεῖαι, ὥστε τὴν Β πρὸς Γ ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ὁ Α κύκλος πρὸς τὴν ἐπιφάνειαν τῆς σφαίρας, καὶ τῶν Β, Γ μέση ἀνάλογον ἡ Δ, καὶ ἐγγεγράφθω καὶ περιγεγράφθω πάλιν, ὥστε τὴν τοῦ περιγεγραμμένου ἐλάσσονα λόγον ἔχειν τοῦ τῆς Β πρὸς Δ [καὶ τὰ διπλάσια ἄρα][1]· ἡ ἐπιφάνεια ἄρα τοῦ περιγεγραμμένου πρὸς τὴν ἐπιφάνειαν τοῦ ἐγγεγραμμένου ἐλάσσονα λόγον ἔχει ἤπερ [ἡ Β πρὸς Γ. ἡ δὲ Β πρὸς Γ ἐλάσσονα λόγον ἔχει ἤπερ][2] ὁ Α κύκλος πρὸς τὴν ἐπιφάνειαν τῆς σφαίρας· ὅπερ ἄτοπον· ἡ μὲν γὰρ τοῦ περιγεγραμμένου ἐπιφάνεια μείζων ἐστὶ τοῦ Α κύκλου, ἡ δὲ τοῦ ἐγγεγραμμένου ἐλάσσων τῆς ἐπιφανείας τῆς σφαίρας.

Οὐκ ἄρα οὐδὲ ἐλάσσων ἡ ἐπιφάνεια τῆς σφαίρας τοῦ Α κύκλου. ἐδείχθη δέ, ὅτι οὐδὲ μείζων· ἡ ἄρα ἐπιφάνεια τῆς σφαίρας ἴση ἐστὶ τῷ Α κύκλῳ, τουτέστι τῷ τετραπλασίῳ τοῦ μεγίστου κύκλου.

[1] *καὶ . . . ἄρα* om. Heiberg.
[2] *ἡ Β . . . ἤπερ* om. Heiberg.

---

[a] Archimedes would not have omitted these words.

[b] On p. 100 n. *a* it was proved that the area of the inscribed figure is

$$4\pi a^2 \sin\frac{\pi}{n}\left[\sin\frac{\pi}{2n}+\sin\frac{2\pi}{2n}+\ldots+\sin(2n-1)\frac{\pi}{2n}\right],$$

$$\text{or } 4\pi a^2 \cos\frac{\pi}{4n}.$$

On p. 108 n. *a* it was proved that the area of the circumscribed figure is

$$4\pi a^2 \sec^2\frac{\pi}{4n}\sin\frac{\pi}{4n}\left[\sin\frac{\pi}{2n}+\sin\frac{2\pi}{2n}+\ldots+\sin(2n-1)\frac{\pi}{2n}\right],$$

$$\text{or } 4\pi a^2 \sec\frac{\pi}{4n}.$$

I say now that neither is it less. For, if possible let it be; and let the straight lines Β, Γ be similarly found, so that Β has to Γ a less ratio than that which the circle Α has to the surface of the sphere, and let Δ be a mean proportional between Β, Γ, and let [polygons] be again inscribed and circumscribed, so that the [side] of the circumscribed polygon has [to the side of the inscribed polygon] [a] a less ratio than that of Β to Δ; then the surface of the circumscribed polygon has to the surface of the inscribed polygon a ratio less than that which the circle Α has to the surface of the sphere; which is absurd; for the surface of the circumscribed polygon is greater than the circle Α, while that of the inscribed polygon is less than the surface of the sphere.

Therefore the surface of the sphere is not less than the circle Α. And it was proved not to be greater; therefore the surface of the sphere is equal to the circle Α, that is to four times the greatest circle.[b]

When n is indefinitely increased, the inscribed and circumscribed figures become identical with one another and with the circle, and, since $\cos\frac{\pi}{4n}$ and $\sec\frac{\pi}{4n}$ both become unity, the above expressions both give the area of the circle as $4\pi a^2$.

But the first expressions are, when n is indefinitely increased, precisely what is meant by the integral

$$4\pi a^2 \cdot \tfrac{1}{2}\int_0^{\pi} \sin\phi\, d\phi,$$

which is familiar to every student of the calculus as the formula for the area of a sphere and has the value $4\pi a^2$.

Thus Archimedes' procedure is equivalent to a genuine integration, but when it comes to the last stage, instead of saying, "Let the sides of the polygon be indefinitely λδ′

Πᾶσα σφαῖρα τετραπλασία ἐστὶ κώνου τοῦ βάσιν μὲν ἔχοντος ἴσην τῷ μεγίστῳ κύκλῳ τῶν ἐν τῇ σφαίρᾳ, ὕψος δὲ τὴν ἐκ τοῦ κέντρου τῆς σφαίρας.

Ἔστω γὰρ σφαῖρά τις καὶ ἐν αὐτῇ μέγιστος κύκλος ὁ ΑΒΓΔ. εἰ οὖν μή ἐστιν ἡ σφαῖρα τε-



τραπλασία τοῦ εἰρημένου κώνου, ἔστω, εἰ δυνατόν, μείζων ἢ τετραπλασία· ἔστω δὲ ὁ Ξ κῶνος βάσιν μὲν ἔχων τετραπλασίαν τοῦ ΑΒΓΔ κύκλου, ὕψος δὲ ἴσον τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας· μείζων οὖν ἐστιν ἡ σφαῖρα τοῦ Ξ κώνου. ἔσται δὴ δύο μεγέθη ἄνισα ἥ τε σφαῖρα καὶ ὁ κῶνος· δυνατὸν οὖν δύο εὐθείας λαβεῖν ἀνίσους, ὥστε ἔχειν τὴν

---

increased," he prefers to prove that the area of the sphere cannot be either greater or less than $4\pi a^2$. By this double *reductio ad absurdum* he avoids the logical difficulties of dealing with indefinitely small quantities, difficulties that were not fully overcome until recent times.

The procedure by which in this same book Archimedes

Prop. 34

Any sphere is four times as great as the cone having a base equal to the greatest of the circles in the sphere and height equal to the radius of the sphere.

For let there be a sphere in which ΑΒΓΔ is the greatest circle. If the sphere is not four times the



aforesaid cone, let it be, if possible, greater than four times; let Ξ be a cone having a base four times the circle ΑΒΓΔ and height equal to the radius of the sphere; then the sphere is greater than the cone Ξ. Accordingly there will be two unequal magnitudes, the sphere and the cone; it is therefore possible to take two unequal straight lines so that

finds the surface of the segment of a sphere is equivalent to the integration

$$\pi a^2 \int^{a} 2 \sin \theta \, d\theta = 2\pi a^2 (1 - \cos a).$$

Concurrently Archimedes finds the volumes of a sphere and segment of a sphere. He uses the same inscribed and circumscribed figures, and the procedure is equivalent to multiplying the above formulae by $\frac{1}{3}a$ throughout. Other "integrations" effected by Archimedes are the volume of a segment of a paraboloid of revolution, the volume of a segment of a hyperboloid of revolution, the volume of a segment of a spheroid, the area of a spiral and the area of a segment of a parabola. He also finds the area of an ellipse, but not by a method equivalent to integration. The subject is fully treated by Heath, *The Works of Archimedes*, pp. cxlii-cliv, to whom I am much indebted in writing this note.

μείζονα πρὸς τὴν ἐλάσσονα ἐλάσσονα λόγον τοῦ, ὃν ἔχει ἡ σφαῖρα πρὸς τὸν Ξ κῶνον. ἔστωσαν οὖν αἱ Κ, Η, *αἱ δὲ* Ι, Θ *εἰλημμέναι, ὥστε τῷ ἴσῳ ἀλλήλων ὑπερέχειν τὴν* Κ *τῆς* Ι *καὶ τὴν* Ι *τῆς* Θ *καὶ τὴν* Θ *τῆς* Η, *νοείσθω δὲ καὶ εἰς τὸν* ΑΒΓΔ *κύκλον ἐγγεγραμμένον πολύγωνον, οὗ τὸ πλῆθος τῶν πλευρῶν μετρείσθω ὑπὸ τετράδος, καὶ ἄλλο περιγεγραμμένον ὅμοιον τῷ ἐγγεγραμμένῳ, καθάπερ ἐπὶ τῶν πρότερον, ἡ δὲ τοῦ περιγεγραμμένου πολυγώνου πλευρὰ πρὸς τὴν τοῦ ἐγγεγραμμένου ἐλάσσονα λόγον ἐχέτω τοῦ, ὃν ἔχει ἡ* Κ *πρὸς* Ι, *καὶ ἔστωσαν αἱ* ΑΓ, ΒΔ *διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις. εἰ οὖν μενούσης τῆς* ΑΓ *διαμέτρου περιενεχθείη τὸ ἐπίπεδον, ἐν ᾧ τὰ πολύγωνα, ἔσται σχήματα*[1] *τὸ μὲν ἐγγεγραμμένον ἐν τῇ σφαίρᾳ, τὸ δὲ περιγεγραμμένον, καὶ ἕξει τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον τριπλασίονα λόγον ἤπερ ἡ πλευρὰ τοῦ περιγεγραμμένου πρὸς τὴν τοῦ ἐγγεγραμμένου εἰς τὸν* ΑΒΓΔ *κύκλον. ἡ δὲ πλευρὰ πρὸς τὴν πλευρὰν ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ* Κ *πρὸς τὴν* Ι· *ὥστε τὸ σχῆμα τὸ περιγεγραμμένον ἐλάσσονα λόγον ἔχει ἢ τριπλασίονα τοῦ* Κ *πρὸς* Ι.

[1] *σχήματα* Heiberg, *τὸ σχῆμα* codd.

---

[a] Eutocius supplies a proof on these lines. Let the lengths of K, I, Θ, H be a, b, c, d. Then $a-b=b-c=c-d$, and it is required to prove that $a : d > a^3 : b^3$.

Take x such that	$a : b = b : x$.
Then	$a-b : a = b-x : b$,
and since $a > b$,	$a-b > b-x$.
But, by hypothesis,	$a-b = b-c$.
Therefore	$b-c > b-x$,
and so	$x > c$.

the greater will have to the less a less ratio than that which the sphere has to the cone Ξ. Therefore let the straight lines K, H, and the straight lines I, Θ, be so taken that K exceeds I, and I exceeds Θ and Θ exceeds H by an equal quantity; let there be imagined inscribed in the circle ΑΒΓΔ a polygon the number of whose sides is divisible by four; let another be circumscribed similar to that inscribed so that, as before, the side of the circumscribed polygon has to the side of the inscribed polygon a ratio less than that K : I; and let ΑΓ, ΒΔ be diameters at right angles. Then if, while the diameter ΑΓ remains stationary, the surface in which the polygons lie be revolved, there will result two [solid] figures, one inscribed in the sphere and the other circumscribed, and the circumscribed figure will have to the inscribed the triplicate ratio of that which the side of the circumscribed figure has to the side of the figure inscribed in the circle ΑΒΓΔ [Prop. 32]. But the ratio of the one side to the other is less than K : I [*ex hypothesi*]; and so the circumscribed figure has [to the inscribed] a ratio less than $K^3 : I^3$. But [a] $K : H > K^3 : I^3$; by much more there-

[a] Again, take y such that $b : z = x : y$.
Then, as before $b - x > x - y$.
Therefore, *a fortiori*, $b - c > x - y$.
But, by hypothesis, $b - c = c - d$.
Therefore $c - d > x - y$.
But $x > c$,
and so $y > d$.
But, by hypothesis, $a : b = b : x = x : y$,
$a : y = a^3 : b^3$ [Eucl. v. Def. 10, also vol. i. p. 258 n. *b*.
Therefore $a : d > a^3 : b^3$.

ἔχει δὲ καὶ ἡ Κ πρὸς Η μείζονα λόγον ἢ τριπλάσιον τοῦ, ὃν ἔχει ἡ Κ πρὸς Ι [τοῦτο γὰρ φανερὸν διὰ λημμάτων][1]*· πολλῷ ἄρα τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχει τοῦ, ὃν ἔχει ἡ Κ πρὸς Η. ἡ δὲ Κ πρὸς Η ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ σφαῖρα πρὸς τὸν Ξ κῶνον· καὶ ἐναλλάξ· ὅπερ ἀδύνατον· τὸ γὰρ σχῆμα τὸ περιγεγραμμένον μεῖζόν ἐστι τῆς σφαίρας, τὸ δὲ ἐγγεγραμμένον ἔλασσον τοῦ Ξ κώνου [διότι ὁ μὲν Ξ κῶνος τετραπλάσιός ἐστι τοῦ κώνου τοῦ βάσιν μὲν ἔχοντος ἴσην τῷ ΑΒΓΔ κύκλῳ, ὕψος δὲ ἴσον τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας, τὸ δὲ ἐγγεγραμμένον σχῆμα ἔλασσον τοῦ εἰρημένου κώνου ἢ τετραπλάσιον]*.[2] *οὐκ ἄρα μείζων ἢ τετραπλασία ἡ σφαῖρα τοῦ εἰρημένου.*

Ἔστω, εἰ δυνατόν, ἐλάσσων ἢ τετραπλασία· ὥστε ἐλάσσων ἐστὶν ἡ σφαῖρα τοῦ Ξ κώνου. εἰλήφθωσαν δὴ αἱ Κ, Η εὐθεῖαι, ὥστε τὴν Κ μείζονα εἶναι τῆς Η καὶ ἐλάσσονα λόγον ἔχειν πρὸς αὐτὴν τοῦ, ὃν ἔχει ὁ Ξ κῶνος πρὸς τὴν σφαῖραν, καὶ αἱ Θ, Ι ἐκκείσθωσαν, καθὼς πρότερον, καὶ εἰς τὸν ΑΒΓΔ κύκλον νοείσθω πολύγωνον ἐγγεγραμμένον καὶ ἄλλο περιγεγραμμένον, ὥστε τὴν πλευρὰν τοῦ περιγεγραμμένου πρὸς τὴν πλευρὰν τοῦ ἐγγεγραμμένου ἐλάσσονα λόγον ἔχειν ἤπερ ἡ Κ πρὸς Ι, καὶ τὰ ἄλλα κατεσκευασμένα τὸν αὐτὸν τρόπον τοῖς πρότερον· ἕξει ἄρα καὶ τὸ περιγεγραμμένον στερεὸν σχῆμα πρὸς τὸ ἐγγεγραμμένον τριπλασίονα λόγον ἤπερ ἡ πλευρὰ τοῦ περιγεγραμμένου περὶ τὸν ΑΒΓΔ κύκλον πρὸς τὴν τοῦ ἐγγεγραμμένου. ἡ δὲ πλευρὰ πρὸς τὴν πλευρὰν ἐλάσσονα λόγον ἔχει fore the circumscribed figure has to the inscribed a ratio less than K : H. But K : H is a ratio less than that which the sphere has to the cone Ξ [*ex hypothesi*]; [therefore the circumscribed figure has to the inscribed a ratio less than that which the sphere has to the cone Ξ]; and *permutando*, [the circumscribed figure has to the sphere a ratio less than that which the inscribed figure has to the cone] [a]; which is impossible; for the circumscribed figure is greater than the sphere [Prop. 28], but the inscribed figure is less than the cone Ξ [Prop. 27]. Therefore the sphere is not greater than four times the aforesaid cone.

Let it be, if possible, less than four times, so that the sphere is less than the cone Ξ. Let the straight lines K, H be so taken that K is greater than H and K : H is a ratio less than that which the cone Ξ has to the sphere [Prop. 2]; let the straight lines Θ, I be placed as before; let there be imagined in the circle ΑΒΓΔ one polygon inscribed and another circumscribed, so that the side of the circumscribed figure has to the side of the inscribed a ratio less than K : I; and let the other details in the construction be done as before. Then the circumscribed solid figure will have to the inscribed the triplicate ratio of that which the side of the figure circumscribed about the circle ΑΒΓΔ has to the side of the inscribed figure [Prop. 32]. But the ratio of the sides

[a] A marginal note in one MS. gives these words, which Archimedes would not have omitted.

[1] τοῦτο . . . λημμάτων om. Heiberg.
[2] διότι . . . τετραπλάσιον om. Heiberg.

ἤπερ ἡ Κ πρὸς Ι· ἕξει οὖν τὸ σχῆμα τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἢ τριπλάσιον τοῦ, ὃν ἔχει ἡ Κ πρὸς τὴν Ι. ἡ δὲ Κ πρὸς τὴν Η μείζονα λόγον ἔχει ἢ τριπλάσιον τοῦ, ὃν ἔχει ἡ Κ πρὸς τὴν Ι· ὥστε ἐλάσσονα λόγον ἔχει τὸ σχῆμα τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἢ ἡ Κ πρὸς τὴν Η. ἡ δὲ Κ πρὸς τὴν Η ἐλάσσονα λόγον ἔχει ἢ ὁ Ξ κῶνος πρὸς τὴν σφαῖραν· ὅπερ ἀδύνατον· τὸ μὲν γὰρ ἐγγεγραμμένον ἔλασσόν ἐστι τῆς σφαίρας, τὸ δὲ περιγεγραμμένον μεῖζον τοῦ Ξ κώνου. οὐκ ἄρα οὐδὲ ἐλάσσων ἐστὶν ἢ τετραπλασία ἡ σφαῖρα τοῦ κώνου τοῦ βάσιν μὲν ἔχοντος ἴσην τῷ ΑΒΓΔ κύκλῳ, ὕψος δὲ τὴν ἴσην τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας. ἐδείχθη δέ, ὅτι οὐδὲ μείζων· τετραπλασία ἄρα.

[Πόρισμα][1]

Προδεδειγμένων δὲ τούτων φανερόν, ὅτι πᾶς κύλινδρος βάσιν μὲν ἔχων τὸν μέγιστον κύκλον τῶν ἐν τῇ σφαίρᾳ, ὕψος δὲ ἴσον τῇ διαμέτρῳ τῆς σφαίρας, ἡμιόλιός ἐστι τῆς σφαίρας καὶ ἡ ἐπιφάνεια αὐτοῦ μετὰ τῶν βάσεων ἡμιολία τῆς ἐπιφανείας τῆς σφαίρας.

Ὁ μὲν γὰρ κύλινδρος ὁ προειρημένος ἑξαπλάσιός ἐστι τοῦ κώνου τοῦ βάσιν μὲν ἔχοντος τὴν αὐτήν, ὕψος δὲ ἴσον τῇ ἐκ τοῦ κέντρου, ἡ δὲ σφαῖρα δέδεικται τοῦ αὐτοῦ κώνου τετραπλασία οὖσα· δῆλον οὖν, ὅτι ὁ κύλινδρος ἡμιόλιός ἐστι τῆς σφαίρας. πάλιν, ἐπεὶ ἡ ἐπιφάνεια τοῦ κυλίνδρου χωρὶς τῶν βάσεων ἴση δέδεικται κύκλῳ, οὗ ἡ ἐκ

[1] *πόρισμα.* The title is not found in some MSS.

is less than K : I [*ex hypothesi*]; therefore the circumscribed figure has to the inscribed a ratio less than $K^3 : I^3$. But $K : H > K^3 : I^3$; and so the circumscribed figure has to the inscribed a ratio less than K : H. But K : H is a ratio less than that which the cone Ξ has to the sphere [*ex hypothesi*]; [therefore the circumscribed figure has to the inscribed a ratio less than that which the cone Ξ has to the sphere] [a]; which is impossible; for the inscribed figure is less than the sphere [Prop. 28], but the circumscribed figure is greater than the cone Ξ [Prop. 31, coroll.]. Therefore the sphere is not less than four times the cone having its base equal to the circle ΑΒΓΔ, and height equal to the radius of the sphere. But it was proved that it cannot be greater; therefore it is four times as great.

[COROLLARY]

From what has been proved above it is clear that *any cylinder having for its base the greatest of the circles in the sphere, and having its height equal to the diameter of the sphere, is one-and-a-half times the sphere, and its surface including the bases is one-and-a-half times the surface of the sphere.*

For the aforesaid cylinder is six times the cone having the same basis and height equal to the radius [from Eucl. xii. 10], while the sphere was proved to be four times the same cone [Prop. 34]. It is obvious therefore that the cylinder is one-and-a-half times the sphere. Again, since the surface of the cylinder excluding the bases has been proved equal to a circle

[a] These words, which Archimedes would not have omitted, are given in a marginal note to one MS.

τοῦ κέντρου μέση ἀνάλογόν ἐστι τῆς τοῦ κυλίνδρου πλευρᾶς καὶ τῆς διαμέτρου τῆς βάσεως, τοῦ δὲ εἰρημένου κυλίνδρου τοῦ περὶ τὴν σφαῖραν ἡ πλευρὰ ἴση ἐστὶ τῇ διαμέτρῳ τῆς βάσεως [δῆλον, ὅτι ἡ μέση αὐτῶν ἀνάλογον ἴση γίνεται τῇ διαμέτρῳ τῆς βάσεως],[1] *ὁ δὲ κύκλος ὁ τὴν ἐκ τοῦ κέντρου ἔχων ἴσην τῇ διαμέτρῳ τῆς βάσεως τετραπλάσιός ἐστι τῆς βάσεως, τουτέστι τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαίρᾳ, ἔσται ἄρα καὶ ἡ ἐπιφάνεια τοῦ κυλίνδρου χωρὶς τῶν βάσεων τετραπλασία τοῦ μεγίστου κύκλου· ὅλη ἄρα μετὰ τῶν βάσεων ἡ ἐπιφάνεια τοῦ κυλίνδρου ἑξαπλασία ἔσται τοῦ μεγίστου κύκλου. ἔστιν δὲ καὶ ἡ τῆς σφαίρας ἐπιφάνεια τετραπλασία τοῦ μεγίστου κύκλου. ὅλη ἄρα ἡ ἐπιφάνεια τοῦ κυλίνδρου ἡμιολία ἐστὶ τῆς ἐπιφανείας τῆς σφαίρας.*

(*c*) Solution of a Cubic Equation

Archim. *De Sphaera et Cyl.* ii., Prop. 4, Archim. **ed.** Heiberg i. 186. 15–192. 6

Τὴν δοθεῖσαν σφαῖραν τεμεῖν, ὥστε τὰ τμήματα τῆς σφαίρας πρὸς ἄλληλα λόγον ἔχειν τὸν αὐτὸν τῷ δοθέντι.

[1] *δῆλον . . . βάσεως* om. Heiberg.

[a] As the geometrical form of proof is rather diffuse, and may conceal from the casual reader the underlying nature of the operation, it may be as well to state at the outset the various stages of the proof. The problem is to cut a given sphere by a plane so that the segments shall have a given ratio, and the stages are :

(*a*) Analysis of this main problem in which it is reduced to a particular case of the general problem, " so to cut a given straight line ΔZ at X that XZ bears to the given whose radius is a mean proportional between the side of the cylinder and the diameter of the base [Prop. 13], and the side of the aforementioned cylinder circumscribing the sphere is equal to the diameter of the base, while the circle having its radius equal to the diameter of the base is four times the base [Eucl. xii. 2], that is to say, four times the greatest of the circles in the sphere, therefore the surface of the cylinder excluding the bases is four times the greatest circle; therefore the whole surface of the cylinder, including the bases, is six times the greatest circle. But the surface of the sphere is four times the greatest circle. Therefore the whole surface of the cylinder is one-and-a-half times the surface of the sphere.

(c) Solution of a Cubic Equation

Archimedes, *On the Sphere and Cylinder* ii., Prop. 4, Archim. ed. Heiberg i. 186. 15–192. 6

To cut a given sphere, so that the segments of the sphere shall have, one towards the other, a given ratio.[a]

straight line the same ratio as a given area bears to the square on ΔX"; in algebraical notation, to solve the equation

$$\frac{a-x}{b}=\frac{c^2}{x^2}, \text{ or } x^2(a-x)=bc^2.$$

(*b*) Analysis of this general problem, in which it is shown that the required point can be found as the intersection of a parabola $[ax^2=c^2y]$ and a hyperbola $[(a-x)y=ab]$. It is stated, for the time being without proof, that $x^2(a-x)$ is greatest when $x=\frac{2}{3}a$; in other words, that for a real solution $bc^2 \ngtr \frac{4}{27}a^3$.

(*c*) Synthesis of this general problem, according as bc^2 is greater than, equal to, or less than $\frac{4}{27}a^3$. If it be greater, there is no real solution; if equal, there is one real solution; if less, there are two real solutions.

(*d*) Proof that $x^2(a-x)$ is greatest when $x=\frac{2}{3}a$, deferred

῎Εστω ἡ δοθεῖσα σφαῖρα ἡ ΑΒΓΔ· δεῖ δὴ αὐτὴν τεμεῖν ἐπιπέδῳ, ὥστε τὰ τμήματα τῆς σφαίρας πρὸς ἄλληλα λόγον ἔχειν τὸν δοθέντα.

Τετμήσθω διὰ τῆς ΑΓ ἐπιπέδῳ· λόγος ἄρα τοῦ ΑΔΓ τμήματος τῆς σφαίρας πρὸς τὸ ΑΒΓ τμῆμα τῆς σφαίρας δοθείς. τετμήσθω δὲ ἡ σφαῖρα διὰ τοῦ κέντρου, καὶ ἔστω ἡ τομὴ μέγιστος κύκλος ὁ ΑΒΓΔ, κέντρον δὲ τὸ Κ καὶ διάμετρος ἡ ΔΒ, καὶ πεποιήσθω, ὡς μὲν συναμφότερος ἡ ΚΔΧ πρὸς ΔΧ, οὕτως ἡ ΡΧ πρὸς ΧΒ, ὡς δὲ συναμφότερος ἡ ΚΒΧ πρὸς ΒΧ, οὕτως ἡ ΛΧ πρὸς ΧΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΛ, ΛΓ, ΑΡ, ΡΓ· ἴσος ἄρα ἐστὶν ὁ μὲν ΑΛΓ κῶνος τῷ ΑΔΓ τμήματι τῆς σφαίρας, ὁ δὲ ΑΡΓ τῷ ΑΒΓ· λόγος ἄρα καὶ τοῦ ΑΛΓ κώνου πρὸς τὸν ΑΡΓ κῶνον δοθείς. ὡς δὲ ὁ κῶνος πρὸς τὸν κῶνον, οὕτως ἡ ΛΧ πρὸς ΧΡ [ἐπείπερ τὴν αὐτὴν βάσιν ἔχουσιν τὸν περὶ διάμετρον τὴν ΑΓ κύκλον][1]· λόγος ἄρα καὶ τῆς ΛΧ πρὸς ΧΡ δοθείς. καὶ διὰ ταὐτὰ τοῖς πρό-

[1] ἐπείπερ . . . κύκλον om. Heiberg.

---

in (*b*). This is done in two parts, by showing that (1) if x has any value less than $\frac{2}{3}a$, (2) if x has any value greater than $\frac{2}{3}a$, then $x^2(a-x)$ has a smaller value than when $x=\frac{2}{3}a$.

(*e*) Proof that, if $bc^2 < \frac{4}{27}a^3$, there are always two real solutions.

(*f*) Proof that, in the particular case of the general problem to which Archimedes has reduced his original problem, there is always a real solution.

(*g*) Synthesis of the original problem.

Of these stages, (*a*) and (*g*) alone are found in our texts of Archimedes; but Eutocius found stages (*b*)-(*d*) in an old book, which he took to be the work of Archimedes; and he added stages (*e*) and (*f*) himself. When it is considered that all these stages are traversed by rigorous geometrical

Let ΑΒΓΔ be the given sphere; it is required so to cut it by a plane that the segments of the sphere shall have, one towards the other, the given ratio.

Let it be cut by the plane ΑΓ; then the ratio of the segment ΑΔΓ of the sphere to the segment ΑΒΓ of the sphere is given. Now let the sphere be cut through the centre [by a plane perpendicular to the plane through ΑΓ], and let the section be the great circle ΑΒΓΔ of centre Κ and diameter ΔΒ, and let [Λ, Ρ be taken on ΒΔ produced in either direction so that]

$$\mathrm{K}\Delta + \Delta\mathrm{X} : \Delta\mathrm{X} = \mathrm{PX} : \mathrm{XB},$$

$$\mathrm{KB} + \mathrm{BX} : \mathrm{BX} = \Lambda\mathrm{X} : \mathrm{X}\Delta,$$

and let ΑΛ, ΛΓ, ΑΡ, ΡΓ be joined; then the cone ΑΛΓ is equal to the segment ΑΔΓ of the sphere, and



the cone ΑΡΓ to the segment ΑΒΓ [Prop. 2]; therefore the ratio of the cone ΑΛΓ to the cone ΑΡΓ is given. But cone ΑΛΓ : cone ΑΡΓ = ΛΧ : ΧΡ.[a] Therefore the ratio ΛΧ : ΧΡ is given. And in the

methods, the solution must be admitted a veritable *tour de force*. It is strictly analogous to the modern method of solving a cubic equation, but the concept of a cubic equation did not, of course, come within the purview of the ancient mathematicians.

[a] Since they have the same base.

τερον διὰ τῆς κατασκευῆς, ὡς ἡ ΛΔ πρὸς ΚΔ, ἡ ΚΒ πρὸς ΒΡ καὶ ἡ ΔΧ πρὸς ΧΒ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΡΒ πρὸς ΒΚ, ἡ ΚΔ πρὸς ΛΔ, συνθέντι, ὡς ἡ ΡΚ πρὸς ΚΒ, τουτέστι πρὸς ΚΔ, οὕτως ἡ ΚΛ πρὸς ΛΔ· καὶ ὅλη ἄρα ἡ ΡΛ πρὸς ὅλην τὴν ΚΛ ἐστιν, ὡς ἡ ΚΛ πρὸς ΛΔ. ἴσον ἄρα τὸ ὑπὸ τῶν ΡΛΔ τῷ ἀπὸ ΛΚ. ὡς ἄρα ἡ ΡΛ πρὸς ΛΔ, τὸ ἀπὸ ΚΛ πρὸς τὸ ἀπὸ ΛΔ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΛΔ πρὸς ΔΚ, οὕτως ἡ ΔΧ πρὸς ΧΒ, ἔσται ἀνάπαλιν καὶ συνθέντι, ὡς ἡ ΚΛ πρὸς ΛΔ, οὕτως ἡ ΒΔ πρὸς ΔΧ [καὶ ὡς ἄρα τὸ ἀπὸ ΚΛ πρὸς τὸ ἀπὸ ΛΔ, οὕτως τὸ ἀπὸ ΒΔ πρὸς τὸ ἀπὸ ΔΧ. πάλιν, ἐπεί ἐστιν, ὡς ἡ ΛΧ πρὸς ΔΧ, συναμφότερος ἡ ΚΒ, ΒΧ πρὸς ΒΧ, διελόντι, ὡς ἡ ΛΔ πρὸς ΔΧ, οὕτως ἡ ΚΒ πρὸς ΒΧ].[1] καὶ κείσθω τῇ ΚΒ ἴση ἡ ΒΖ· ὅτι γὰρ ἐκτὸς τοῦ Ρ πεσεῖται, δῆλον [καὶ ἔσται, ὡς ἡ ΛΔ πρὸς ΔΧ, οὕτως ἡ ΖΒ πρὸς ΒΧ· ὥστε καί, ὡς ἡ ΔΛ πρὸς ΛΧ, ἡ ΒΖ πρὸς ΖΧ].[2] ἐπεὶ δὲ λόγος ἐστὶ τῆς ΔΛ πρὸς ΛΧ δοθείς, καὶ τῆς ΡΛ ἄρα πρὸς ΛΧ λόγος ἐστὶ

[1] καὶ . . . πρὸς ΒΧ. The words καὶ . . . ἀπὸ ΔΧ are shown by Eutocius's comment to be an interpolation. The words πάλιν . . . πρὸς ΒΧ and καὶ . . . πρὸς ΖΧ must also be interpolated, as, in order to prove that ΔΛ : ΛΧ is given, Eutocius first proves that ΒΖ : ΖΧ = ΛΔ : ΛΧ, which he would hardly have done if Archimedes had himself provided the proof.

[2] καὶ . . . πρὸς ΖΧ; *v.* preceding note.

---

[a] This is proved by Eutocius thus:

Since	ΚΔ + ΔΧ : ΔΧ = ΡΧ : ΧΒ,
dirimendo,	ΚΔ : ΔΧ = ΡΒ : ΒΧ,
and *permutando*,	ΚΔ : ΒΡ = ΔΧ : ΧΒ,
i.e.,	ΚΒ : ΒΡ = ΔΧ : ΧΒ.
Again, since	ΚΒ + ΒΧ : ΧΒ = ΛΧ : ΧΔ,

same way as in a previous proposition [Prop. 2], by construction,

$$\Lambda\Delta : K\Delta = KB : BP = \Delta X : XB.$$[a]

And since	$PB : BK = K\Delta : \Lambda\Delta$,	[Eucl. v. 7, coroll.
componendo,	$PK : KB = K\Lambda : \Lambda\Delta$,	[Eucl. v. 18
i.e.,	$PK : K\Delta = K\Lambda : \Lambda\Delta$.	
$\therefore$	$P\Lambda : K\Lambda = K\Lambda : \Lambda\Delta$.	[Eucl. v. 12
$\therefore$	$P\Lambda \cdot \Lambda\Delta = \Lambda K^2$.	[Eucl. vi. 17
$\therefore$	$P\Lambda : \Lambda\Delta = K\Lambda^2 : \Lambda\Delta^2$.	
And since	$\Lambda\Delta : \Delta K = \Delta X : XB$,	
invertendo et componendo,	$K\Lambda : \Lambda\Delta = B\Delta : \Delta X$.	[Eucl. v. 7, coroll. and v. 18

Let BZ be placed equal to KB. It is plain that [Z] will fall beyond P.[b] Since the ratio $\Delta\Lambda : \Lambda X$ is given, therefore the ratio $P\Lambda : \Lambda X$ is given.[c] Then,

dirimendo et permutando	$\Delta X : XB = \Lambda\Delta : \Delta K$.
Now	$\Delta X : XB = KB : BP$.
Therefore	$\Lambda\Delta : \Delta K = \Delta X : XB = KB : BP$.

[b] Since $X\Delta : XB = KB : BP$, and $\Delta X > XB$, $\therefore$ $KB > BP$. $\therefore$ $BZ > BP$.

[c] As Eutocius's note shows, what Archimedes wrote was: "Since the ratio $\Delta\Lambda : \Lambda X$ is given, and the ratio $P\Lambda : \Lambda X$, therefore the ratio $P\Lambda : \Lambda\Delta$ is also given." Eutocius's proof is:

Since	$KB + BX : BX = \Lambda X : X\Delta$,
$\therefore$	$ZX : XB = \Lambda X : X\Delta$;
$\therefore$	$XZ : ZB = X\Lambda : \Lambda\Delta$;
$\therefore$	$BZ : ZX = \Lambda\Delta : \Lambda X$.

But the ratio $BZ : ZX$ is given because ZB is equal to the radius of the given sphere and BX is given. Therefore $\Lambda\Delta : \Lambda X$ is given.

Again, since the ratio of the segments is given, the ratio of *δοθείς. ἐπεὶ οὖν ὁ τῆς ΡΛ πρὸς ΛΧ λόγος συνῆπται ἔκ τε τοῦ, ὃν ἔχει ἡ ΡΛ πρὸς ΛΔ, καὶ ἡ ΔΛ πρὸς ΛΧ, ἀλλ' ὡς μὲν ἡ ΡΛ πρὸς ΛΔ, τὸ ἀπὸ ΔΒ πρὸς τὸ ἀπὸ ΔΧ, ὡς δὲ ἡ ΔΛ πρὸς ΛΧ, οὕτως ἡ ΒΖ πρὸς ΖΧ, ὁ ἄρα τῆς ΡΛ πρὸς ΛΧ λόγος συνῆπται ἔκ τε τοῦ, ὃν ἔχει τὸ ἀπὸ ΒΔ πρὸς τὸ ἀπὸ ΔΧ, καὶ ἡ ΒΖ πρὸς ΖΧ. πεποιήσθω δέ, ὡς ἡ ΡΛ πρὸς ΛΧ, ἡ ΒΖ πρὸς ΖΘ· λόγος δὲ τῆς ΡΛ πρὸς ΛΧ δοθείς· λόγος ἄρα καὶ τῆς ΖΒ πρὸς ΖΘ δοθείς. δοθεῖσα δὲ ἡ ΒΖ—ἴση γάρ ἐστι τῇ ἐκ τοῦ κέντρου· δοθεῖσα ἄρα καὶ ἡ ΖΘ. καὶ ὁ τῆς ΒΖ ἄρα λόγος πρὸς ΖΘ συνῆπται ἔκ τε τοῦ, ὃν ἔχει τὸ ἀπὸ ΒΔ πρὸς τὸ ἀπὸ ΔΧ, καὶ ἡ ΒΖ πρὸς ΖΧ. ἀλλ' ὁ ΒΖ πρὸς ΖΘ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ΒΖ πρὸς ΖΧ καὶ τοῦ τῆς ΖΧ πρὸς ΖΘ [κοινὸς ἀφῃρήσθω ὁ τῆς ΒΖ πρὸς ΖΧ][1]· λοιπὸν ἄρα ἐστίν, ὡς τὸ ἀπὸ ΒΔ, τουτέστι δοθέν, πρὸς τὸ ἀπὸ ΔΧ, οὕτως ἡ ΧΖ πρὸς ΖΘ, τουτέστι πρὸς δοθέν. καί ἐστιν δοθεῖσα ἡ ΖΔ εὐθεῖα· εὐθεῖαν ἄρα δοθεῖσαν τὴν ΔΖ τεμεῖν δεῖ κατὰ τὸ Χ καὶ ποιεῖν, ὡς τὴν ΧΖ πρὸς δοθεῖσαν [τὴν ΖΘ],[2] οὕτως τὸ δοθὲν [τὸ ἀπὸ ΒΔ][2] πρὸς τὸ ἀπὸ ΔΧ. τοῦτο οὕτως ἁπλῶς μὲν λεγόμενον ἔχει διορισμόν,*

[1] *κοινὸς . . . πρὸς* ΖΧ. Eutocius's comment shows that these words are interpolated.

[2] *τὴν* ΖΘ, *τὸ ἀπὸ* ΒΔ. Eutocius's comments show these words to be glosses.

---

the cones ΑΛΓ, ΑΡΓ is also given, and therefore the ratio ΛΧ : ΧΡ. Therefore the ratio ΡΛ : ΛΧ is given. Since the ratios ΡΛ : ΛΧ and ΛΔ : ΛΧ are given, it follows that the ratio ΡΛ : ΛΔ is given.

since the ratio $P\Lambda : \Lambda X$ is composed of the ratios $P\Lambda : \Lambda\Delta$ and $\Delta\Lambda : \Lambda X$,

and since $$P\Lambda : \Lambda\Delta = \Delta B^2 : \Delta X^2,[a]$$
$$\Delta\Lambda : \Lambda X = BZ : ZX,$$

therefore the ratio $P\Lambda : \Lambda X$ is composed of the ratios $B\Delta^2 : \Delta X^2$ and $BZ : ZX$. Let [Θ be chosen so that]

$$P\Lambda : \Lambda X = BZ : Z\Theta.$$

Now the ratio $P\Lambda : \Lambda X$ is given; therefore the ratio $ZB : Z\Theta$ is given. Now BZ is given—for it is equal to the radius; therefore $Z\Theta$ is also given. Therefore[b] the ratio $BZ : Z\Theta$ is composed of the ratios $B\Delta^2 : \Delta X^2$ and $BZ : ZX$. But the ratio $BZ : Z\Theta$ is composed of the ratios $BZ : ZX$ and $ZX : Z\Theta$. Therefore, the remainder[c] $B\Delta^2 : \Delta X^2 = XZ : Z\Theta$, in which $B\Delta^2$ and $Z\Theta$ are given. And the straight line $Z\Delta$ is given; therefore *it is required so to cut the given straight line ΔZ at X that XZ bears to a given straight line the same ratio as a given area bears to the square on ΔX.* When the problem is stated in this general form,[d] it is necessary to investigate the limits of possibility,

[a] For $$P\Lambda : \Lambda\Delta = \Lambda K^2 : \Delta\Lambda^2$$
$$= B\Delta^2 : \Delta X.^2$$

[b] "Therefore" refers to the last equation.

[c] *i.e.* the remainder in the process given fully by Eutocius as follows:

$$(B\Delta^2 : \Delta X^2) . (BZ : ZX) = BZ : \Theta Z = (BZ : ZX) . (XZ : Z\Theta).$$

Removing the common element $BZ : ZX$ from the extreme terms, we find that the remainder $B\Delta^2 : \Delta X^2 = XZ : Z\Theta$.

[d] In algebraic notation, if $\Delta X = x$ and $\Delta Z = a$, while the given straight line is b and the given area is c^2, then

$$\frac{a-x}{b} = \frac{c^2}{x^2},$$

or $$x^2(a-x) = bc^2.$$

προστιθεμένων δὲ τῶν προβλημάτων τῶν ἐνθάδε ὑπαρχόντων [τουτέστι τοῦ τε διπλασίαν εἶναι τὴν ΔΒ τῆς ΒΖ καὶ τοῦ μείζονα τῆς ΖΘ τὴν ΖΒ, ὡς κατὰ τὴν ἀνάλυσιν][1] οὐκ ἔχει διορισμόν· καὶ ἔσται τὸ πρόβλημα τοιοῦτον· δύο δοθεισῶν εὐθειῶν τῶν ΒΔ, ΒΖ καὶ διπλασίας οὔσης τῆς ΒΔ τῆς ΒΖ καὶ σημείου ἐπὶ τῆς ΒΖ τοῦ Θ τεμεῖν τὴν ΔΒ κατὰ τὸ Χ καὶ ποιεῖν, ὡς τὸ ἀπὸ ΒΔ πρὸς τὸ ἀπὸ ΔΧ, τὴν ΧΖ πρὸς ΖΘ· ἑκάτερα δὲ ταῦτα ἐπὶ τέλει ἀναλυθήσεταί τε καὶ συντεθήσεται.

Eutoc. *Comm. in Archim. De Sphaera et Cyl.* ii., Archim. ed. Heiberg iii. 130. 17–150. 22

Ἐπὶ τέλει μὲν τὸ προρηθὲν ἐπηγγείλατο δεῖξαι, ἐν οὐδενὶ δὲ τῶν ἀντιγράφων εὑρεῖν ἔνεστι τὸ ἐπάγγελμα. ὅθεν καὶ Διονυσόδωρον μὲν εὑρίσκομεν μὴ τῶν αὐτῶν ἐπιτυχόντα, ἀδυνατήσαντα δὲ ἐπιβαλεῖν τῷ καταλειφθέντι λήμματι, ἐφ' ἑτέραν ὁδὸν τοῦ ὅλου προβλήματος ἐλθεῖν, ἥντινα ἑξῆς γράψομεν· Διοκλῆς μέντοι καὶ αὐτὸς ἐν τῷ Περὶ πυρίων αὐτῷ συγγεγραμμένῳ βιβλίῳ ἐπηγγέλθαι νομίζων τὸν Ἀρχιμήδη, μὴ πεποιηκέναι δὲ τὸ ἐπάγγελμα, αὐτὸς ἀναπληροῦν ἐπεχείρησεν, καὶ τὸ ἐπιχείρημα ἑξῆς γράψομεν· ἔστιν γὰρ καὶ αὐτὸ οὐδένα μὲν ἔχον πρὸς τὰ παραλελειμμένα λόγον, ὁμοίως δὲ τῷ Διονυσοδώρῳ δι' ἑτέρας ἀποδείξεως κατασκευάζον τὸ πρόβλημα. ἔν τινι μέντοι παλαιῷ

[1] τουτέστι . . . ἀνάλυσιν. Eutocius's notes make it seem likely that these words are interpolated.

[a] In the technical language of Greek mathematics, the

but under the conditions of the present case no such investigation is necessary.[a] In the present case the problem will be of this nature: *Given two straight lines* BΔ, BZ, *in which* $B\Delta = 2BZ$, *and a point* Θ *upon* BZ, *so to cut* ΔB *at* X *that*

$$B\Delta^2 : \Delta X^2 = XZ : Z\Theta;$$

and the analysis and synthesis of both problems will be given at the end.[b]

Eutocius, *Commentary on Archimedes' Sphere and Cylinder* ii., Archim. ed. Heiberg iii. 130. 17–150. 22

He promised that he would give at the end a proof of what is stated, but the fulfilment of the promise cannot be found in any of his extant writings. Dionysodorus also failed to light on it, and, being unable to tackle the omitted lemma, he approached the whole problem in an altogether different way, which I shall describe in due course. Diocles, indeed, in his work *On Burning Mirrors* maintained that Archimedes made the promise but had not fulfilled it, and he undertook to supply the omission himself, which attempt I shall also describe in its turn; it bears, however, no relation to the missing discussion, but, like that of Dionysodorus, it solves the problem by a construction reached by a different proof. But

general problem requires a *diorismos*, for which *v.* vol. i. p. 151 n. *h* and p. 396 n. *a*. In algebraic notation, there must be limiting conditions if the equation

$$x^2(a - x) = bc^2$$

is to have a real root lying between 0 and a.

[b] Having made this promise, Archimedes proceeded to give the formal synthesis of the problem which he had thus reduced.

βιβλίῳ—οὐδὲ γὰρ τῆς εἰς πολλὰ ζητήσεως ἀπέστημεν—ἐντετύχαμεν θεωρήμασι γεγραμμένοις οὐκ ὀλίγην μὲν τὴν ἐκ τῶν πταισμάτων ἔχουσιν ἀσάφειαν περί τε τὰς καταγραφὰς πολυτρόπως ἡμαρτημένοις, τῶν μέντοι ζητουμένων εἶχον τὴν ὑπόστασιν, ἐν μέρει δὲ τὴν Ἀρχιμήδει φίλην Δωρίδα γλῶσσαν ἀπέσωζον καὶ τοῖς συνήθεσι τῷ ἀρχαίῳ τῶν πραγμάτων ὀνόμασιν ἐγέγραπτο τῆς μὲν παραβολῆς ὀρθογωνίου κώνου τομῆς ὀνομαζομένης, τῆς δὲ ὑπερβολῆς ἀμβλυγωνίου κώνου τομῆς, ὡς ἐξ αὐτῶν διανοεῖσθαι, μὴ ἄρα καὶ αὐτὰ εἴη τὰ ἐν τῷ τέλει ἐπηγγελμένα γράφεσθαι. ὅθεν σπουδαιότερον ἐντυγχάνοντες αὐτὸ μὲν τὸ ῥητόν, ὡς γέγραπται, διὰ πλῆθος, ὡς εἴρηται, τῶν πταισμάτων δυσχερὲς εὑρόντες τὰς ἐννοίας κατὰ μικρὸν ἀποσυλήσαντες κοινοτέρᾳ καὶ σαφεστέρᾳ κατὰ τὸ δυνατὸν λέξει γράφομεν. καθόλου δὲ πρῶτον τὸ θεώρημα γραφήσεται, ἵνα τὸ λεγόμενον ὑπ' αὐτοῦ σαφηνισθῇ περὶ τῶν διορισμῶν· εἶτα καὶ τοῖς ἀναλελυμένοις ἐν τῷ προβλήματι προσαρμοσθήσεται.

"Εὐθείας δοθείσης τῆς ΑΒ καὶ ἑτέρας τῆς ΑΓ καὶ χωρίου τοῦ Δ προκείσθω λαβεῖν ἐπὶ τῆς ΑΒ σημεῖον ὡς τὸ Ε, ὥστε εἶναι, ὡς τὴν ΑΕ πρὸς ΑΓ, οὕτω τὸ Δ χωρίον πρὸς τὸ ἀπὸ ΕΒ.

"Γεγονέτω, καὶ κείσθω ἡ ΑΓ πρὸς ὀρθὰς τῇ ΑΒ, καὶ ἐπιζευχθεῖσα ἡ ΓΕ διήχθω ἐπὶ τὸ Ζ, καὶ ἤχθω διὰ τοῦ Γ τῇ ΑΒ παράλληλος ἡ ΓΗ, διὰ δὲ τοῦ Β τῇ ΑΓ παράλληλος ἡ ΖΒΗ συμπίπτουσα in a certain ancient book—for I pursued the inquiry thoroughly—I came upon some theorems which, though far from clear owing to errors and to manifold faults in the diagrams, nevertheless gave the substance of what I sought, and furthermore preserved in part the Doric dialect beloved by Archimedes, while they kept the names favoured by ancient custom, the parabola being called a section of a right-angled cone and the hyperbola a section of an obtuse-angled cone; in short, I felt bound to consider whether these theorems might not be what he had promised to give at the end. For this reason I applied myself with closer attention, and, although it was difficult to get at the true text owing to the multitude of the mistakes already mentioned, gradually I routed out the meaning and now set it out, so far as I can, in more familiar and clearer language. In the first place the theorem will be treated generally, in order to make clear what he says about the limits of possibility; then will follow the special form it takes under the conditions of his analysis of the problem.

"Given a straight line AB and another straight line $A\Gamma$ and an area Δ, let it be required to find a point E on AB such that $AE : A\Gamma = \Delta : EB^2$.

"Suppose it found, and let $A\Gamma$ be at right angles to AB, and let ΓE be joined and produced to Z, and through Γ let ΓH be drawn parallel to AB, and through B let ZBH be drawn parallel to $A\Gamma$, meeting ἑκατέρᾳ τῶν ΓΕ, ΓΗ, καὶ συμπεπληρώσθω τὸ ΗΘ παραλληλόγραμμον, καὶ διὰ τοῦ Ε ὁποτέρᾳ τῶν ΓΘ, ΗΖ παράλληλος ἤχθω ἡ ΚΕΛ, καὶ τῷ Δ ἴσον ἔστω τὸ ὑπὸ ΓΗΜ.

" Ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΕΑ πρὸς ΑΓ, οὕτως τὸ Δ πρὸς τὸ ἀπὸ ΕΒ, ὡς δὲ ἡ ΕΑ πρὸς ΑΓ, οὕτως ἡ ΓΗ πρὸς ΗΖ, ὡς δὲ ἡ ΓΗ πρὸς ΗΖ, οὕτως τὸ ἀπὸ ΓΗ πρὸς τὸ ὑπὸ ΓΗΖ, ὡς ἄρα τὸ ἀπὸ ΓΗ πρὸς τὸ ὑπὸ ΓΗΖ, οὕτως τὸ Δ πρὸς τὸ ἀπὸ ΕΒ, τουτέστι πρὸς τὸ ἀπὸ ΚΖ· καὶ ἐναλλάξ, ὡς τὸ ἀπὸ ΓΗ πρὸς τὸ Δ, τουτέστι πρὸς τὸ ὑπὸ ΓΗΜ, οὕτως τὸ ὑπὸ ΓΗΖ πρὸς τὸ ἀπὸ ΖΚ. ἀλλ' ὡς τὸ ἀπὸ ΓΗ πρὸς τὸ ὑπὸ ΓΗΜ, οὕτως ἡ ΓΗ πρὸς ΗΜ· καὶ ὡς ἄρα ἡ ΓΗ πρὸς ΗΜ, οὕτως τὸ ὑπὸ ΓΗΖ πρὸς τὸ ἀπὸ ΖΚ. ἀλλ' ὡς ἡ ΓΗ πρὸς ΗΜ, τῆς ΗΖ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ ΓΗΖ πρὸς τὸ ὑπὸ ΜΗΖ· ὡς ἄρα τὸ ὑπὸ ΓΗΖ πρὸς τὸ ὑπὸ ΜΗΖ, οὕτως τὸ ὑπὸ ΓΗΖ πρὸς τὸ ἀπὸ ΖΚ· ἴσον ἄρα τὸ ὑπὸ ΜΗΖ τῷ ἀπὸ ΖΚ. ἐὰν ἄρα περὶ ἄξονα τὴν ΖΗ both ΓE and ΓH, and let the parallelogram HΘ be completed, and through E let KEΛ be drawn parallel



to either ΓΘ or HZ, and let [M be taken so that]

$$\Gamma H \,.\, HM = \Delta.$$

$$\begin{array}{lll}
\text{“ Then, since} & EA : A\Gamma & = \Delta : EB^2 \quad [\textit{ex hyp.} \\
\text{and} & EA : A\Gamma & = \Gamma H : HZ, \\
\text{and} & \Gamma H : HZ & = \Gamma H^2 : \Gamma H \,.\, HZ, \\
\therefore & \Gamma H^2 : \Gamma H \,.\, HZ & = \Delta : EB^2 \\
 & & = \Delta : KZ^2 ; \\
\text{and, } \textit{permutando}, & \Gamma H^2 : \Delta & [= \Gamma H \,.\, HZ : ZK^2,] \\
\textit{i.e.,} & \Gamma H^2 : \Gamma H \,.\, HM & = \Gamma H \,.\, HZ : ZK^2. \\
\text{But} & \Gamma H^2 : \Gamma H \,.\, HM & = \Gamma H : HM ; \\
\therefore & \Gamma H : HM & = \Gamma H \,.\, HZ : ZK^2.
\end{array}$$

But, by taking a common altitude HZ,

$$\Gamma H : HM = \Gamma H \,.\, HZ : MH \,.\, HZ ;$$

$$\therefore \quad \Gamma H \,.\, HZ : MH \,.\, HZ = \Gamma H \,.\, HZ : ZK^2 ;$$

$$\therefore \qquad MH \,.\, HZ = ZK^2.$$

γραφῇ διὰ τοῦ Η *παραβολή, ὥστε τὰς καταγομένας δύνασθαι παρὰ τὴν* ΗΜ, *ἥξει διὰ τοῦ* Κ, *καὶ ἔσται θέσει δεδομένη διὰ τὸ δεδομένην εἶναι τὴν* ΗΜ *τῷ μεγέθει περιέχουσαν μετὰ τῆς* ΗΓ *δεδομένης δοθὲν τὸ* Δ· *τὸ ἄρα* Κ *ἅπτεται θέσει δεδομένης παραβολῆς. γεγράφθω οὖν, ὡς εἴρηται, καὶ ἔστω ὡς ἡ* ΗΚ.

"*Πάλιν, ἐπειδὴ τὸ* ΘΛ *χωρίον ἴσον ἐστὶ τῷ* ΓΒ, *τουτέστι τὸ ὑπὸ* ΘΚΛ *τῷ ὑπὸ* ΑΒΗ, *ἐὰν διὰ τοῦ* Β *περὶ ἀσυμπτώτους τὰς* ΘΓ, ΓΗ *γραφῇ ὑπερβολή, ἥξει διὰ τοῦ* Κ *διὰ τὴν ἀντιστροφὴν τοῦ η′ θεωρήματος τοῦ δευτέρου βιβλίου τῶν Ἀπολλωνίου Κωνικῶν στοιχείων, καὶ ἔσται θέσει δεδομένη διὰ τὸ καὶ ἑκατέραν τῶν* ΘΓ, ΓΗ, *ἔτι μὴν καὶ τὸ* Β *τῇ θέσει δεδόσθαι. γεγράφθω, ὡς εἴρηται, καὶ ἔστω ὡς ἡ* ΚΒ· *τὸ ἄρα* Κ *ἅπτεται θέσει δεδομένης ὑπερβολῆς. ἥπτετο δὲ καὶ θέσει δεδομένης παραβολῆς· δέδοται ἄρα τὸ* Κ. *καί ἐστιν ἀπ' αὐτοῦ κάθετος ἡ* ΚΕ *ἐπὶ θέσει δεδομένην τὴν* ΑΒ· *δέδοται ἄρα τὸ* Ε. *ἐπεὶ οὖν ἐστιν, ὡς ἡ* ΕΑ *πρὸς τὴν δοθεῖσαν τὴν* ΑΓ, *οὕτως δοθὲν τὸ* Δ *πρὸς τὸ ἀπὸ* ΕΒ, *δύο στερεῶν, ὧν βάσεις τὸ ἀπὸ* ΕΒ *καὶ τὸ* Δ, *ὕψη δὲ αἱ* ΕΑ, ΑΓ, *ἀντιπεπόν-*

[a] Let $AB = a$, $A\Gamma = b$, and $\Delta = \Gamma H \cdot HM = c^2$, so that $HM = \frac{c^2}{a}$. Then if $H\Gamma$ be taken as the axis of x and HZ as the axis of y, the equation of the parabola is

$$x^2 = \frac{c^2}{a}y,$$

and the equation of the hyperbola is

$$(a - x)y = ab.$$

Their points of intersection give solutions of the equation

$$x^2(a - x) = bc^2.$$

If, therefore, a parabola be drawn through H about the axis ZH with the parameter HM, it will pass through K [Apoll. *Con.* i. 11, converse], and it will be given in position because HM is given in magnitude [Eucl. *Data* 57], comprehending with the given straight line HΓ the given area Δ; therefore K lies on a parabola given in position. Let it then be drawn, as described, and let it be HK.

"Again, since the area $\Theta\Lambda = \Gamma B$ [Eucl. i. 43

i.e., $\Theta K \cdot K\Lambda = AB \cdot BH$,

if a hyperbola be drawn through B having ΘΓ, ΓH for asymptotes, it will pass through K by the converse to the eighth theorem of the second book of Apollonius's *Elements of Conics*, and it will be given in position because both the straight lines ΘΓ, ΓH, and also the point B, are given in position. Let it be drawn, as described, and let it be KB; therefore K lies on a hyperbola given in position. But it lies also on a parabola given in position; therefore K is given.[a] And KE is the perpendicular drawn from it to the straight line AB given in position; therefore E is given. Now since the ratio of EA to the given straight line AΓ is equal to the ratio of the given area Δ to the square on EB, we have two solids, whose bases are the square on EB and Δ and whose altitudes are EA, AΓ, and the bases are inversely pro-

to which, as already noted, Archimedes had reduced his problem. (*N.B.*—The axis of x is for convenience taken in a direction contrary to that which is usual; with the usual conventions, we should get slightly different equations.)

θασιν αἱ βάσεις τοῖς ὕψεσιν· ὥστε ἴσα ἐστὶ τὰ στερεά· τὸ ἄρα ἀπὸ ΕΒ ἐπὶ τὴν ΕΑ ἴσον ἐστὶ τῷ δοθέντι τῷ Δ ἐπὶ δοθεῖσαν τὴν ΓΑ. ἀλλὰ τὸ ἀπὸ ΒΕ ἐπὶ τὴν ΕΑ μέγιστόν ἐστι πάντων τῶν ὁμοίως λαμβανομένων ἐπὶ τῆς ΒΑ, ὅταν ᾖ διπλασία ἡ ΒΕ τῆς ΕΑ, ὡς δειχθήσεται· δεῖ ἄρα τὸ δοθὲν ἐπὶ τὴν δοθεῖσαν μὴ μεῖζον εἶναι τοῦ ἀπὸ τῆς ΒΕ ἐπὶ τὴν ΕΑ.

" Συντεθήσεται δὲ οὕτως· ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, ἄλλη δέ τις δοθεῖσα ἡ ΑΓ, τὸ δὲ δοθὲν χωρίον τὸ Δ, καὶ δέον ἔστω τεμεῖν τὴν ΑΒ, ὥστε εἶναι, ὡς τὸ ἓν τμῆμα πρὸς τὴν δοθεῖσαν τὴν ΑΓ, οὕτως τὸ δοθὲν τὸ Δ πρὸς τὸ ἀπὸ τοῦ λοιποῦ τμήματος.

" Εἰλήφθω τῆς ΑΒ τρίτον μέρος ἡ ΑΕ· τὸ ἄρα Δ ἐπὶ τὴν ΑΓ ἤτοι μεῖζόν ἐστι τοῦ ἀπὸ τῆς ΒΕ ἐπὶ τὴν ΕΑ ἢ ἴσον ἢ ἔλασσον.

" Εἰ μὲν οὖν μεῖζόν ἐστιν, οὐ συντεθήσεται, ὡς ἐν τῇ ἀναλύσει δέδεικται· εἰ δὲ ἴσον ἐστί, τὸ Ε σημεῖον ποιήσει τὸ πρόβλημα. ἴσων γὰρ ὄντων τῶν στερεῶν ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, καί ἐστιν, ὡς ἡ ΕΑ πρὸς ΑΓ, οὕτως τὸ Δ πρὸς τὸ ἀπὸ ΒΕ.

" Εἰ δὲ ἔλασσόν ἐστι τὸ Δ ἐπὶ τὴν ΑΓ τοῦ ἀπὸ ΒΕ ἐπὶ τὴν ΕΑ, συντεθήσεται οὕτως· κείσθω ἡ ΑΓ πρὸς ὀρθὰς τῇ ΑΒ, καὶ διὰ τοῦ Γ τῇ ΑΒ παρ-

---

[a] In our algebraical notation, $x^2(a-x)$ is a maximum when $x=\frac{2}{3}a$. We can easily prove this by the calculus. For, by differentiating and equating to zero, we see that $x^2(a-x)$ has

portional to the altitudes ; therefore the solids are equal [Eucl. xi. 34] ; therefore

$$EB^2 . EA = \Delta . \Gamma A,$$

in which both Δ and ΓA are given. But, of all the figures similarly taken upon BA, $BE^2 . BA$ is greatest when $BE = 2EA$,[a] as will be proved ; it is therefore necessary that the product of the given area and the given straight line should not be greater than

$$BE^2 . EA.^{b}$$

" The synthesis is as follows : Let AB be the given straight line,[c] let $A\Gamma$ be any other given straight line, let Δ be the given area, and let it be required to cut AB so that the ratio of one segment to the given straight line $A\Gamma$ shall be equal to the ratio of the given area Δ to the square on the remaining segment.

" Let AE be taken, the third part of AB ; then $\Delta . A\Gamma$ is greater than, equal to or less than $BE^2 . EA$.

" If it is greater, no synthesis is possible, as was shown in the analysis ; if it is equal, the point E satisfies the conditions of the problem. For in equal solids the bases are inversely proportional to the altitudes, and $EA : A\Gamma = \Delta : BE^2$.

" If $\Delta . A\Gamma$ is less than $BE^2 . EA$, the synthesis is thus accomplished : let $A\Gamma$ be placed at right angles to AB, and through Γ let ΓZ be drawn parallel to

a stationary value when $2ax - 3x^2 = 0$, *i.e.*, when $x = 0$ (which gives a minimum value) or $x = \frac{2}{3}a$ (which gives a maximum). No such easy course was open to Archimedes.

[b] *Sc.* " not greater than $BE^2 . EA$ when $BE = 2EA$."

[c] Figure on p. 146.

ἀλλήλος ἤχθω ἡ ΓΖ, *διὰ δὲ τοῦ* Β *τῇ* ΑΓ *παράλληλος ἤχθω ἡ* ΒΖ *καὶ συμπιπτέτω τῇ* ΓΕ *ἐκβληθείσῃ κατὰ τὸ* Η, *καὶ συμπεπληρώσθω τὸ* ΖΘ *παραλληλόγραμμον, καὶ διὰ τοῦ* Ε *τῇ* ΖΗ *παράλληλος ἤχθω ἡ* ΚΕΛ. *ἐπεὶ οὖν τὸ* Δ *ἐπὶ τὴν* ΑΓ *ἔλασσόν ἐστι τοῦ ἀπὸ* ΒΕ *ἐπὶ τὴν* ΕΑ, *ἔστιν, ὡς ἡ* ΕΑ *πρὸς* ΑΓ, *οὕτως τὸ* Δ *πρὸς ἔλασσόν τι τοῦ ἀπὸ τῆς* ΒΕ, *τουτέστι τοῦ ἀπὸ τῆς* ΗΚ. *ἔστω οὖν, ὡς ἡ* ΕΑ *πρὸς* ΑΓ, *οὕτως τὸ* Δ *πρὸς τὸ ἀπὸ* ΗΜ, *καὶ τῷ* Δ *ἴσον ἔστω τὸ ὑπὸ* ΓΖΝ. *ἐπεὶ οὖν ἐστιν, ὡς ἡ* ΕΑ *πρὸς* ΑΓ, *οὕτως τὸ* Δ, *τουτέστι τὸ ὑπὸ* ΓΖΝ, *πρὸς τὸ ἀπὸ* ΗΜ, *ἀλλ' ὡς ἡ* ΕΑ *πρὸς* ΑΓ, *οὕτως ἡ* ΓΖ *πρὸς* ΖΗ, *ὡς δὲ ἡ* ΓΖ *πρὸς* ΖΗ, *οὕτως τὸ ἀπὸ* ΓΖ *πρὸς τὸ ὑπὸ* ΓΖΗ, *καὶ ὡς ἄρα τὸ ἀπὸ* ΓΖ *πρὸς τὸ ὑπὸ* ΓΖΗ, *οὕτως τὸ ὑπὸ* ΓΖΝ *πρὸς τὸ ἀπὸ* ΗΜ· *καὶ ἐναλλάξ, ὡς τὸ ἀπὸ* ΓΖ *πρὸς τὸ ὑπὸ* ΓΖΝ, *οὕτως τὸ ὑπὸ* ΓΖΗ *πρὸς τὸ ἀπὸ* ΗΜ. *ἀλλ' ὡς τὸ ἀπὸ* ΓΖ *πρὸς τὸ ὑπὸ* ΓΖΝ, *ἡ* ΓΖ *πρὸς* ΖΝ, *ὡς δὲ ἡ* ΓΖ *πρὸς* ΖΝ, *τῆς* ΖΗ *κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ* ΓΖΗ *πρὸς τὸ ὑπὸ* ΝΖΗ· *καὶ ὡς ἄρα τὸ ὑπὸ* ΓΖΗ *πρὸς τὸ ὑπὸ* ΝΖΗ, *οὕτως τὸ ὑπὸ* ΓΖΗ *πρὸς τὸ ἀπὸ* ΗΜ· *ἴσον ἄρα ἐστὶ τὸ ἀπὸ* ΗΜ *τῷ ὑπὸ* ΗΖΝ.

" *Ἐὰν ἄρα διὰ τοῦ* Ζ *περὶ ἄξονα τὴν* ΖΗ *γράψωμεν παραβολήν, ὥστε τὰς καταγομένας δύνασθαι παρὰ τὴν* ΖΝ, *ἥξει διὰ τοῦ* Μ. *γεγράφθω, καὶ ἔστω ὡς ἡ* ΜΞΖ. *καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ* ΘΛ *τῷ* ΑΖ, *τουτέστι τὸ ὑπὸ* ΘΚΛ *τῷ ὑπὸ* ΑΒΖ, *ἐὰν διὰ*

AB, and through B let BZ be drawn parallel to AΓ, and let it meet ΓE produced at H, and let the parallelogram ZΘ be completed, and through E let KEΛ be drawn parallel to ZH. Now

since $\Delta \cdot A\Gamma < BE^2 \cdot EA$,

$\therefore\ EA : A\Gamma = \Delta :$ (the square of some quantity less than BE)

$= \Delta :$ (the square of some quantity less than HK).

Let $EA : A\Gamma = \Delta : HM^2$,

and let $\Delta = \Gamma Z \cdot ZN$.

Then $EA : A\Gamma = \Delta : HM^2$

$= \Gamma Z \cdot ZN : HM^2$.

But $EA : A\Gamma = \Gamma Z : ZH$,

and $\Gamma Z : ZH = \Gamma Z^2 : \Gamma Z \cdot ZH$;

$\therefore\ \Gamma Z^2 : \Gamma Z \cdot ZH = \Gamma Z \cdot ZN : HM^2$;

and *permutando*, $\Gamma Z^2 : \Gamma Z \cdot ZN = \Gamma Z \cdot ZH : HM^2$.

But $\Gamma Z^2 : \Gamma Z \cdot ZN = \Gamma Z : ZN$,

and $\Gamma Z : ZN = \Gamma Z \cdot ZH : NZ \cdot ZH$,

by taking a common altitude ZH ;

and $\therefore\ \Gamma Z \cdot ZH : NZ \cdot ZH = \Gamma Z \cdot ZH : HM^2$;

$\therefore\ HM^2 = HZ \cdot ZN$.

"Therefore if we describe through Z a parabola about the axis ZH and with parameter ZN, it will pass through M. Let it be described, and let it be as MΞZ. Then since

$\Theta\Lambda = AZ$, [Eucl. i. 43

i.e. $\Theta K \cdot K\Lambda = AB \cdot BZ$, τοῦ Β περὶ ἀσυμπτώτους τὰς ΘΓ, ΓΖ γράψωμεν ὑπερβολήν, ἥξει διὰ τοῦ Κ διὰ τὴν ἀντιστροφὴν



τοῦ η′ θεωρήματος τῶν Ἀπολλωνίου Κωνικῶν στοιχείων. γεγράφθω, καὶ ἔστω ὡς ἡ ΒΚ τέμνουσα τὴν παραβολὴν κατὰ τὸ Ξ, καὶ ἀπὸ τοῦ Ξ ἐπὶ τὴν ΑΒ κάθετος ἤχθω ἡ ΞΟΠ, καὶ διὰ τοῦ Ξ τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΡΞΣ. ἐπεὶ οὖν ὑπερβολή ἐστιν ἡ ΒΞΚ, ἀσύμπτωτοι δὲ αἱ ΘΓ, ΓΖ, καὶ παράλληλοι ἠγμέναι εἰσὶν αἱ ΡΞΠ ταῖς ΑΒΖ, ἴσον ἐστὶ τὸ ὑπὸ ΡΞΠ τῷ ὑπὸ ΑΒΖ· ὥστε καὶ τὸ ΡΟ τῷ ΟΖ. ἐὰν ἄρα ἀπὸ τοῦ Γ ἐπὶ τὸ Σ ἐπιζευχθῇ εὐθεῖα, ἥξει διὰ τοῦ Ο. ἐρχέσθω, καὶ ἔστω ὡς ἡ ΓΟΣ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΟΑ πρὸς ΑΓ, οὕτως ἡ ΟΒ πρὸς ΒΣ, τουτέστιν ἡ ΓΖ πρὸς ΖΣ, ὡς δὲ ἡ ΓΖ πρὸς ΖΣ, τῆς ΖΝ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ ΓΖΝ πρὸς τὸ ὑπὸ ΣΖΝ, καὶ ὡς ἄρα ἡ ΟΑ πρὸς ΑΓ, οὕτως τὸ ὑπὸ ΓΖΝ πρὸς τὸ ὑπὸ ΣΖΝ. καί ἐστι τῷ μὲν ὑπὸ ΓΖΝ ἴσον τὸ Δ χωρίον, τῷ δὲ ὑπὸ ΣΖΝ ἴσον τὸ ἀπὸ ΣΞ, τουτέστι τὸ ἀπὸ ΒΟ, διὰ τὴν παραβολήν· ὡς ἄρα ἡ ΟΑ πρὸς ΑΓ, οὕτως τὸ Δ if we describe through B a hyperbola in the asymptotes $\Theta\Gamma$, ΓZ, it will pass through K by the converse of the eighth theorem [of the second book] of Apollonius's *Elements of Conics*. Let it be described, and let it be as BK cutting the parabola in Ξ, and from Ξ let $\Xi O \Pi$ be drawn perpendicular to AB, and through Ξ let $P\Xi\Sigma$ be drawn parallel to AB. Then since $B\Xi K$ is a hyperbola and $\Theta\Gamma$, ΓZ are its asymptotes, while $P\Xi$, $\Xi\Pi$ are parallel to AB, BZ,

$$P\Xi \cdot \Xi\Pi = AB \cdot BZ; \qquad \text{[Apoll. ii. 12}$$

$$\therefore \qquad PO = OZ.$$

Therefore if a straight line be drawn from Γ to Σ it will pass through O [Eucl. i. 43, converse]. Let it be drawn, and let it be as $\Gamma O \Sigma$. Then since

$$OA : A\Gamma = OB : B\Sigma \qquad \text{[Eucl. vi. 4}$$

$$= \Gamma Z : Z\Sigma,$$

and $$\Gamma Z : Z\Sigma = \Gamma Z \cdot ZN : \Sigma Z \cdot ZN,$$

by taking a common altitude ZN,

$$\therefore \qquad OA : A\Gamma = \Gamma Z \cdot ZN : \Sigma Z \cdot ZN.$$

And $\Gamma Z \cdot ZN = \Delta$, $\Sigma Z \cdot ZN = \Sigma\Xi^2 = BO^2$, by the property of the parabola [Apoll. i. 11].

$$\therefore \qquad OA : A\Gamma = \Delta : BO^2;$$

χωρίον πρὸς τὸ ἀπὸ τῆς ΒΟ. *εἴληπται ἄρα τὸ* Ο *σημεῖον ποιοῦν τὸ πρόβλημα.*

" "*Οτι δὲ διπλασίας οὔσης τῆς* ΒΕ *τῆς* ΕΑ *τὸ ἀπὸ τῆς* ΒΕ *ἐπὶ τὴν* ΕΑ *μέγιστόν ἐστι πάντων τῶν ὁμοίως λαμβανομένων ἐπὶ τῆς* ΒΑ, *δειχθήσεται οὕτως. ἔστω γάρ, ὡς ἐν τῇ ἀναλύσει, πάλιν δοθεῖσα εὐθεῖα πρὸς ὀρθὰς τῇ* ΑΒ *ἡ* ΑΓ, *καὶ ἐπιζευχθεῖσα ἡ* ΓΕ *ἐκβεβλήσθω καὶ συμπιπτέτω τῇ διὰ τοῦ* Β *παραλλήλῳ ἠγμένῃ τῇ* ΑΓ *κατὰ τὸ* Ζ, *καὶ διὰ τῶν* Γ, Ζ *παράλληλοι τῇ* ΑΒ *ἤχθωσαν αἱ* ΘΖ, ΓΗ, *καὶ ἐκβεβλήσθω ἡ* ΓΑ *ἐπὶ τὸ* Θ, *καὶ ταύτῃ παράλληλος διὰ τοῦ* Ε *ἤχθω ἡ* ΚΕΛ, *καὶ γεγονέτω, ὡς ἡ* ΕΑ *πρὸς* ΑΓ, *οὕτως τὸ ὑπὸ* ΓΗΜ *πρὸς τὸ ἀπὸ* ΕΒ· *τὸ ἄρα ἀπὸ* ΒΕ *ἐπὶ τὴν* ΕΑ *ἴσον ἐστὶ τῷ ὑπὸ* ΓΗΜ *ἐπὶ τὴν* ΑΓ *διὰ τὸ δυὸ στερεῶν ἀντιπεπονθέναι τὰς βάσεις τοῖς ὕψεσιν. λέγω οὖν, ὅτι τὸ ὑπὸ* ΓΗΜ *ἐπὶ τὴν* ΑΓ *μέγιστόν ἐστι πάντων τῶν ὁμοίως ἐπὶ τῆς* ΒΑ *λαμβανομένων.*

" *Γεγράφθω γὰρ διὰ τοῦ* Η *περὶ ἄξονα τὴν* ΖΗ *παραβολή, ὥστε τὰς καταγομένας δύνασθαι παρὰ τὴν* ΗΜ· *ἥξει δὴ διὰ τοῦ* Κ, *ὡς ἐν τῇ ἀναλύσει δέδεικται, καὶ συμπεσεῖται ἐκβαλλομένῃ τῇ* ΘΓ *παραλλήλῳ οὔσῃ τῇ διαμέτρῳ τῆς τομῆς διὰ τὸ ἕβδομον καὶ εἰκοστὸν θεώρημα τοῦ πρώτου βιβλίου τῶν* Ἀπολλωνίου Κωνικῶν *στοιχείων. ἐκβεβλήσθω καὶ συμπιπτέτω κατὰ τὸ* Ν, *καὶ διὰ τοῦ* Β *περὶ ἀσυμπτώτους τὰς* ΝΓΗ *γεγράφθω ὑπερβολή· ἥξει ἄρα διὰ τοῦ* Κ, *ὡς ἐν τῇ ἀναλύσει εἴρηται. ἐρχέσθω οὖν ὡς ἡ* ΒΚ, *καὶ ἐκβληθείσῃ τῇ* ΖΗ *ἴση κείσθω ἡ* ΗΞ, *καὶ ἐπεζεύχθω ἡ* ΞΚ therefore the point O has been found satisfying the conditions of the problem.

"That $BE^2 . EA$ is the greatest of all the figures similarly taken upon BA when $BE = 2EA$ will be thus proved. Let there again be, as in the analysis, a given straight line $A\Gamma$ at right angles to AB,[a] and let ΓE be joined and let it, when produced, meet at Z the line through B drawn parallel to $A\Gamma$, and through Γ, Z let ΘZ, ΓH be drawn parallel to AB, and let ΓA be produced to Θ, and through E let $KE\Lambda$ be drawn parallel to it, and let

$$EA : A\Gamma = \Gamma H . HM : EB^2 ;$$

then $$BE^2 . EA = (\Gamma H . HM) . A\Gamma,$$

owing to the fact that in two [equal] solids the bases are inversely proportional to the altitudes. I assert, then, that $(\Gamma H . HM) . A\Gamma$ is the greatest of all the figures similarly taken upon BA.

"For let there be described through H a parabola about the axis ZH and with parameter HM ; it will pass through K, as was proved in the analysis, and, if produced, it will meet $\Theta\Gamma$, being parallel to the axis[b] of the parabola, by the twenty-seventh theorem of the first book of Apollonius's *Elements of Conics*.[c] Let it be produced, and let it meet at N, and through B let a hyperbola be drawn in the asymptotes $N\Gamma$, ΓH ; it will pass through K, as was shown in the analysis. Let it be described as BK, and let ZH be produced to Ξ so that $ZH = H\Xi$, and let ΞK be joined

[a] Figure on p. 151.
[b] Lit. "diameter," in accordance with Archimedes' usage.
[c] Apoll. i. 26 in our texts.

καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ο· φανερὸν ἄρα, ὅτι ἐφάπτεται τῆς παραβολῆς διὰ τὴν ἀντιστροφὴν τοῦ τετάρτου καὶ τριακοστοῦ θεωρήματος τοῦ πρώτου βιβλίου τῶν Ἀπολλωνίου Κωνικῶν στοιχείων. ἐπεὶ οὖν διπλῆ ἐστιν ἡ ΒΕ τῆς ΕΑ—οὕτως γὰρ ὑπόκειται—τουτέστιν ἡ ΖΚ τῆς ΚΘ,

---

[a] Apoll. i. 33 in our texts.

and produced to O; it is clear that it will touch the parabola by the converse of the thirty-fourth



theorem of the first book of Apollonius's *Elements of Conics*.[a] Then since BE = 2EA—for this hypothesis has been made—therefore ZK = 2KΘ, and the triangle καί ἐστιν ὅμοιον τὸ ΟΘΚ τρίγωνον τῷ ΞΖΚ τριγώνῳ, διπλασία ἐστὶ καὶ ἡ ΞΚ τῆς ΚΟ. ἔστιν δὲ καὶ ἡ ΞΚ τῆς ΚΠ διπλῆ διὰ τὸ καὶ τὴν ΞΖ τῆς ΞΗ καὶ παράλληλον εἶναι τὴν ΠΗ τῇ ΚΖ· ἴση ἄρα ἡ ΟΚ τῇ ΚΠ. ἡ ἄρα ΟΚΠ ψαύουσα τῆς ὑπερβολῆς καὶ μεταξὺ οὖσα τῶν ἀσυμπτώτων δίχα τέμνεται· ἐφάπτεται ἄρα τῆς ὑπερβολῆς διὰ τὴν ἀντιστροφὴν τοῦ τρίτου θεωρήματος τοῦ δευτέρου βιβλίου τῶν Ἀπολλωνίου Κωνικῶν στοιχείων. ἐφήπτετο δὲ καὶ τῆς παραβολῆς κατὰ τὸ αὐτὸ Κ· ἡ ἄρα παραβολὴ τῆς ὑπερβολῆς ἐφάπτεται κατὰ τὸ Κ.

"Νενοήσθω οὖν καὶ ἡ ὑπερβολὴ προσεκβαλλομένη ὡς ἐπὶ τὸ Ρ, καὶ εἰλήφθω ἐπὶ τῆς ΑΒ τυχὸν σημεῖον τὸ Σ, καὶ διὰ τοῦ Σ τῇ ΚΛ παράλληλος ἤχθω ἡ ΤΣΥ καὶ συμβαλλέτω τῇ ὑπερβολῇ κατὰ τὸ Τ, καὶ διὰ τοῦ Τ τῇ ΓΗ παράλληλος ἤχθω ἡ ΦΤΧ. ἐπεὶ οὖν διὰ τὴν ὑπερβολὴν καὶ τὰς ἀσυμπτώτους ἴσον ἐστὶ τὸ ΦΥ τῷ ΓΒ, κοινοῦ ἀφαιρεθέντος τοῦ ΓΣ ἴσον γίνεται τὸ ΦΣ τῷ ΣΗ, καὶ διὰ τοῦτο ἡ ἀπὸ τοῦ Γ ἐπὶ τὸ Χ ἐπιζευγνυμένη εὐθεῖα ἥξει διὰ τοῦ Σ. ἐρχέσθω καὶ ἔστω ὡς ἡ ΓΣΧ. καὶ ἐπεὶ τὸ ἀπὸ ΨΧ ἴσον ἐστὶ τῷ ὑπὸ ΧΗΜ διὰ τὴν παραβολήν, τὸ ἀπὸ ΤΧ ἔλασσόν

---

[a] In the same notation as before, the condition ΒΕ^2 . ΕΑ$=$(ΓΗ . ΗΜ) . ΑΓ is $\frac{4}{27}a^3=bc^2$; and Archimedes has proved that, when this condition holds, the parabola $x^2=\frac{c^2}{a}y$ touches the hyperbola $(a-x)y=ab$ at the point $\left(\frac{2}{3}a, 3b\right)$ because they both touch at this point the same straight line, that is the

ΟΘΚ is similar to the triangle ΞΖΚ, so that ΞΚ = 2ΚΟ. But ΞΚ = 2ΚΠ because ΞΖ = 2ΞΗ and ΠΗ is parallel to ΚΖ; therefore ΟΚ = ΚΠ. Therefore ΟΚΠ, which meets the hyperbola and lies between the asymptotes, is bisected; therefore, by the converse of the third theorem of the second book of Apollonius's *Elements of Conics*, it is a tangent to the hyperbola. But it touches the parabola at the same point Κ. Therefore the parabola touches the hyperbola at Κ.[a]

"Let the hyperbola be therefore conceived as produced to Ρ, and upon ΑΒ let any point Σ be taken, and through Σ let ΤΣΥ be drawn parallel to ΚΛ and let it meet the hyperbola at Τ, and through Τ let ΦΤΧ be drawn parallel to ΓΗ. Now by virtue of the property of the hyperbola and its asymptotes, ΦΥ = ΓΒ, and, the common element ΓΣ being subtracted, ΦΣ = ΣΗ, and therefore the straight line drawn from Γ to Χ will pass through Σ [Eucl. i. 43, conv.]. Let it be drawn, and let it be as ΓΣΧ. Then since, in virtue of the property of the parabola,

$$\Psi X^2 = XH \cdot HM, \qquad \text{[Apoll. i. 11}$$

line $9bx - ay - 3ab = 0$, as may easily be shown. We may prove this fact in the following simple manner. Their points of intersection are given by the equation

$$x^2(a - x) = bc^2,$$

which may be written

$$x^3 - ax^2 + \frac{4}{27}a^3 = \frac{4}{27}a^3 - bc^2,$$

or

$$\left(x - \frac{2}{3}a\right)^2\left(x + \frac{a}{3}\right) = \frac{4}{27}a^3 - bc^2.$$

Therefore, when $bc^2 = \frac{4}{27}a^3$ there are two coincident solutions, $x = \frac{2}{3}a$, lying between 0 and a, and a third solution $x = -\frac{a}{3}$, outside that range.

ἐστι τοῦ ὑπὸ ΧΗΜ. γεγονέτω οὖν τῷ ἀπὸ ΤΧ ἴσον τὸ ὑπὸ ΧΗΩ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΣΑ πρὸς ΑΓ, οὕτως ἡ ΓΗ πρὸς ΗΧ, ἀλλ' ὡς ἡ ΓΗ πρὸς ΗΧ, τῆς ΗΩ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ ΓΗΩ πρὸς τὸ ὑπὸ ΧΗΩ καὶ πρὸς τὸ ἴσον αὐτῷ τὸ ἀπὸ ΧΤ, τουτέστι τὸ ἀπὸ ΒΣ, τὸ ἄρα ἀπὸ ΒΣ ἐπὶ τὴν ΣΑ ἴσον ἐστὶ τῷ ὑπὸ ΓΗΩ ἐπὶ τὴν ΓΑ. τὸ δὲ ὑπὸ ΓΗΩ ἐπὶ τὴν ΓΑ ἔλασσόν ἐστι τοῦ ὑπὸ ΓΗΜ ἐπὶ τὴν ΓΑ· τὸ ἄρα ἀπὸ ΒΣ ἐπὶ τὴν ΣΑ ἔλαττόν ἐστι τοῦ ἀπὸ ΒΕ ἐπὶ τὴν ΕΑ. ὁμοίως δὴ δειχθήσεται καὶ ἐπὶ πάντων τῶν σημείων τῶν μεταξὺ λαμβανομένων τῶν Ε, Β.

" Ἀλλὰ δὴ εἰλήφθω μεταξὺ τῶν Ε, Α σημεῖον τὸ ϛ. λέγω, ὅτι καὶ οὕτως τὸ ἀπὸ τῆς ΒΕ ἐπὶ τὴν ΕΑ μεῖζόν ἐστι τοῦ ἀπὸ Βϛ ἐπὶ τὴν ϛΑ.

" Τῶν γὰρ αὐτῶν κατεσκευασμένων ἤχθω διὰ τοῦ ϛ τῇ ΚΛ παράλληλος ἡ ϚϛΡ καὶ συμβαλλέτω τῇ ὑπερβολῇ κατὰ τὸ Ρ· συμβαλεῖ γὰρ αὐτῇ διὰ τὸ παράλληλος εἶναι τῇ ἀσυμπτώτῳ· καὶ διὰ τοῦ Ρ παράλληλος ἀχθεῖσα τῇ ΑΒ ἡ Α′ΡΒ′ συμβαλλέτω τῇ ΗΖ ἐκβαλλομένῃ κατὰ τὸ Β′. καὶ ἐπεὶ πάλιν διὰ τὴν ὑπερβολὴν ἴσον ἐστὶ τὸ Γ′Ϛ τῷ ΑΗ, ἡ ἀπὸ τοῦ Γ ἐπὶ τὸ Β′ ἐπιζευγνυμένη εὐθεῖα ἥξει διὰ τοῦ ϛ. ἐρχέσθω καὶ ἔστω ὡς ἡ ΓϛΒ′. καὶ ἐπεὶ πάλιν διὰ τὴν παραβολὴν ἴσον ἐστὶ τὸ ἀπὸ Α′Β′ τῷ ὑπὸ Β′ΗΜ, τὸ ἄρα ἀπὸ ΡΒ′ ἔλασσόν ἐστι τοῦ ὑπὸ Β′ΗΜ. γεγονέτω τὸ ἀπὸ ΡΒ′ ἴσον τῷ ὑπὸ Β′ΗΩ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ϛΑ πρὸς ΑΓ, οὕτως ἡ ΓΗ πρὸς ΗΒ′, ἀλλ' ὡς ἡ ΓΗ πρὸς ΗΒ′, τῆς

[a] Figure on p. 156.

$\therefore \qquad TX^2 < XH \,.\, HM.$

Let $\qquad TX^2 = XH \,.\, H\Omega.$

Then since $\Sigma A : A\Gamma = \Gamma H : HX,$

while $\qquad \Gamma H : HX = \Gamma H \,.\, H\Omega : XH \,.\, H\Omega,$

by taking a common altitude $H\Omega$,

$$= \Gamma H \,.\, H\Omega : XT^2$$

$$= \Gamma H \,.\, H\Omega : B\Sigma^2,$$

$\therefore \qquad B\Sigma^2 \,.\, \Sigma A = (\Gamma H \,.\, H\Omega) \,.\, \Gamma A.$

But $\quad (\Gamma H \,.\, H\Omega) \,.\, \Gamma A < (\Gamma H \,.\, HM) \,.\, \Gamma A;$

$\therefore \qquad B\Sigma^2 \,.\, \Sigma A < BE^2 \,.\, EA.$

This can be proved similarly for all points taken between E, B.

" Now let there be taken a point ϛ between E, A. I assert that in this case also $BE^2 \,.\, EA >$ Bϛ . ϛA.

" With the same construction, let ϙϛP be drawn[a] through ϛ parallel to KΛ and let it meet the hyperbola at P; it will meet the hyperbola because it is parallel to an asymptote [Apoll. ii. 13]; and through P let A′PB′ be drawn parallel to AB and let it meet HZ produced in B′. Since, in virtue of the property of the hyperbola, Γ′ϙ = AH, the straight line drawn from Γ to B′ will pass through ϛ [Eucl. i. 43, conv.]. Let it be drawn and let it be as ΓϛB′. Again, since, in virtue of the property of the parabola,

$A'B'^2 \qquad = B'H \,.\, HM,$

$\therefore \qquad PB'^2 \qquad < B'H \,.\, HM.$

Let $\qquad PB'^2 \qquad = B'H \,.\, H\Omega.$

Then since ϛA : AΓ $= \Gamma H : HB',$

while $\qquad \Gamma H : HB' = \Gamma H \,.\, H\Omega : B'H \,.\, H\Omega,$

ΗΩ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ ΓΗΩ πρὸς τὸ ὑπὸ Β′ΗΩ, τουτέστι πρὸς τὸ ἀπὸ



ΡΒ′, τουτέστι πρὸς τὸ ἀπὸ Βϛ, τὸ ἄρα ἀπὸ Βϛ ἐπὶ τὴν ϛΑ ἴσον ἐστὶ τῷ ὑπὸ ΓΗΩ ἐπὶ τὴν ΓΑ. καὶ μεῖζον τὸ ὑπὸ ΓΗΜ τοῦ ὑπὸ ΓΗΩ· μεῖζον ἄρα καὶ τὸ ἀπὸ ΒΕ ἐπὶ τὴν ΕΑ τοῦ ἀπὸ Βϛ ἐπὶ by taking a common altitude HΩ,

$$= \Gamma H \,.\, H\Omega : PB'^2$$

$$= \Gamma H \,.\, H\Omega : B\varsigma^2,$$

$$\therefore \qquad B\varsigma^2 \,.\, \varsigma A = (\Gamma H \,.\, H\Omega) \,.\, \Gamma A.$$

And $\qquad \Gamma H \,.\, HM > \Gamma H \,.\, H\Omega;$

$$\therefore \qquad BE^2 \,.\, EA > B\varsigma^2 \,.\, \varsigma A.$$

τὴν ϛΑ. ὁμοίως δὴ δειχθήσεται καὶ ἐπὶ πάντων τῶν σημείων τῶν μεταξὺ τῶν Ε, Α λαμβανομένων. ἐδείχθη δὲ καὶ ἐπὶ πάντων τῶν μεταξὺ τῶν Ε, Β· πάντων ἄρα τῶν ἐπὶ τῆς ΑΒ ὁμοίως λαμβανομένων μέγιστόν ἐστιν τὸ ἀπὸ τῆς ΒΕ ἐπὶ τὴν ΕΑ, ὅταν ᾖ διπλασία ἡ ΒΕ τῆς ΕΑ."

Ἐπιστῆσαι δὲ χρὴ καὶ τοῖς ἀκολουθοῦσιν κατὰ τὴν εἰρημένην καταγραφήν. ἐπεὶ γὰρ δέδεικται τὸ ἀπὸ ΒΣ ἐπὶ τὴν ΣΑ καὶ τὸ ἀπὸ Βϛ ἐπὶ τὴν ϛΑ ἔλασσον τοῦ ἀπὸ ΒΕ ἐπὶ τὴν ΕΑ, δυνατόν ἐστι καὶ τοῦ δοθέντος χωρίου ἐπὶ τὴν δοθεῖσαν ἐλάσσονος ὄντος τοῦ ἀπὸ τῆς ΒΕ ἐπὶ τὴν ΕΑ κατὰ δύο σημεῖα τὴν ΑΒ τεμνομένην ποιεῖν τὸ ἐξ ἀρχῆς πρόβλημα. τοῦτο δὲ γίνεται, εἰ νοήσαιμεν περὶ διάμετρον τὴν ΧΗ γραφομένην παραβολήν, ὥστε τὰς καταγομένας δύνασθαι παρὰ τὴν ΗΩ· ἡ γὰρ τοιαύτη παραβολὴ πάντως ἔρχεται διὰ τοῦ Τ. καὶ ἐπειδὴ ἀνάγκη αὐτὴν συμπίπτειν τῇ ΓΝ παραλλήλῳ οὔσῃ τῇ διαμέτρῳ, δῆλον, ὅτι τέμνει τὴν ὑπερβολὴν καὶ κατ' ἄλλο σημεῖον ἀνωτέρω τοῦ Κ, ὡς ἐνταῦθα κατὰ τὸ Ρ, καὶ ἀπὸ τοῦ Ρ ἐπὶ τὴν ΑΒ κάθετος ἀγομένη, ὡς ἐνταῦθα ἡ Ρϛ, τέμνει τὴν ΑΒ κατὰ τὸ ϛ, ὥστε τὸ ϛ σημεῖον ποιεῖν τὸ πρό-

---

[a] There is some uncertainty where the quotation from Archimedes ends and Eutocius's comments are resumed. Heiberg, with some reason, makes Eutocius resume his comments at this point.

[b] In the MSS. the figures on pp. 150 and 156 are com-

This can be proved similarly for all points taken between E, A. And it was proved for all points between E, B; therefore for all figures similarly taken upon AB, $BE^2 . EA$ is greatest when $BE = 2EA$."

The following consequences [a] should also be noticed in the aforementioned figure.[b] Inasmuch as it has been proved that

$$B\Sigma^2 . \Sigma A < BE^2 .$$

and

$$Bϛ^2 . ϛA < BE^2 . EA,$$

if the product of the given space and the given straight line is less than $BE^2 . EA$, it is possible to cut AB in two points satisfying the conditions of the original problem.[c] This comes about if we conceive a parabola described about the axis XH with parameter HΩ; for such a parabola will necessarily pass through T.[d] And since it must necessarily meet ΓN, being parallel to a diameter [Apoll. *Con.* i. 26], it is clear that it cuts the hyperbola in another point above K, as at P in this case, and a perpendicular drawn from P to AB, as Pϛ in this case, will cut AB in ϛ, so that the point ϛ satisfies the conditions of the

bined; in this edition it is convenient, for the sake of clarity, to give separate figures.

[c] With the same notation as before this may be stated: when $bc^2 < \frac{4}{27}a^3$, there are always two real solutions of the cubic equation $x^2(a-x) = bc^2$ lying between 0 and a. If the cubic has two real roots it must, of course, have a third real root as well, but the Greeks did not recognize negative solutions.

[d] By Apoll. i. 11, since $TX^2 = XH . H\Omega$.

βλημα, καὶ ἴσον γίνεσθαι τὸ ἀπὸ ΒΣ ἐπὶ τὴν ΣΑ τῷ ἀπὸ Βϛ ἐπὶ τὴν ϛΑ, ὥς ἐστι διὰ τῶν προειρημένων ἀποδείξεων ἐμφανές. ὥστε δυνατοῦ ὄντος ἐπὶ τῆς ΒΑ δύο σημεῖα λαμβάνειν ποιοῦντα τὸ ζητούμενον, ἔξεστιν, ὁπότερόν τις βούλοιτο, λαμβάνειν ἢ τὸ μεταξὺ τῶν Ε, Β ἢ τὸ μεταξὺ τῶν Ε, Α. εἰ μὲν γὰρ τὸ μεταξὺ τῶν Ε, Β, ὡς εἴρηται, τῆς διὰ τῶν Η, Τ σημείων γραφομένης παραβολῆς κατὰ δύο σημεῖα τεμνούσης τὴν ὑπερβολὴν τὸ μὲν ἐγγύτερον τοῦ Η, τουτέστι τοῦ ἄξονος τῆς παραβολῆς, εὑρήσει τὸ μεταξὺ τῶν Ε, Β, ὡς ἐνταῦθα τὸ Τ εὑρίσκει τὸ Σ, τὸ δὲ ἀπωτέρω τὸ μεταξὺ τῶν Ε, Α, ὡς ἐνταῦθα τὸ Ρ εὑρίσκει τὸ ϛ.

Καθόλου μὲν οὖν οὕτως ἀναλέλυται καὶ συντέθειται τὸ πρόβλημα· ἵνα δὲ καὶ τοῖς Ἀρχιμηδείοις ῥήμασιν ἐφαρμοσθῇ, νενοήσθω ὡς ἐν αὐτῇ τῇ τοῦ ῥητοῦ καταγραφῇ διάμετρος μὲν τῆς σφαίρας ἡ ΔΒ, ἡ δὲ ἐκ τοῦ κέντρου ἡ ΒΖ, καὶ ἡ δεδομένη ἡ ΖΘ. κατηντήσαμεν ἄρα, φησίν, εἰς τὸ "τὴν ΔΖ τεμεῖν κατὰ τὸ Χ, ὥστε εἶναι, ὡς τὴν ΧΖ πρὸς τὴν δοθεῖσαν, οὕτως τὸ δοθὲν πρὸς τὸ ἀπὸ τῆς ΔΧ. τοῦτο δὲ ἁπλῶς μὲν λεγόμενον ἔχει διορισμόν." εἰ γὰρ τὸ δοθὲν ἐπὶ τὴν δοθεῖσαν μεῖζον ἐτύγχανεν τοῦ ἀπὸ τῆς ΔΒ ἐπὶ τὴν ΒΖ, ἀδύνατον ἦν τὸ πρόβλημα, ὡς δέδεικται, εἰ δὲ ἴσον, τὸ Β σημεῖον ἐποίει τὸ πρόβλημα, καὶ οὕτως δὲ οὐδὲν ἦν πρὸς τὴν ἐξ ἀρχῆς Ἀρχιμήδους πρόθεσιν· ἡ γὰρ σφαῖρα οὐκ ἐτέμνετο εἰς τὸν δοθέντα

---

[a] Archimedes' figure is re-drawn (*v.* page 162) so that B, Z come on the left of the figure and Δ on the right, instead of B, Z on the right and Δ on the left.

[b] *v. supra*, p. 133.

problem, and $B\Sigma^2 . \Sigma A = B\varsigma^2 . \varsigma A$, as is clear from the above proof. Inasmuch as it is possible to take on BA two points satisfying what is sought, it is permissible to take whichever one wills, either the point between E, B or that between E, A. If we choose the point between E, B, the parabola described through the points H, T will, as stated, cut the hyperbola in two points; of these the one nearer to H, that is to the axis of the parabola, will determine the point between E, B, as in this case T determines Σ, while the point farther away will determine the point between E, A, as in this case P determines ϛ.

The analysis and synthesis of the general problem have thus been completed; but in order that it may be harmonized with Archimedes' words, let there be conceived, as in Archimedes' own figure,[a] a diameter ΔB of the sphere, with radius [equal to] BZ, and a given straight line ZΘ. We are therefore faced with the problem, he says, "so to cut ΔZ at X that XZ bears to the given straight line the same ratio as the given area bears to the square on ΔX. When the problem is stated in this general form, it is necessary to investigate the limits of possibility."[b] If therefore the product of the given area and the given straight line chanced to be greater than $\Delta B^2 . BZ$,[c] the problem would not admit a solution, as was proved, and if it were equal the point B would satisfy the conditions of the problem, which also would be of no avail for the purpose Archimedes set himself at the outset; for the sphere would not be

[c] For $\Delta B = \frac{2}{3}\Delta Z$ [*ex hyp.*], and so ΔB in the figure on p. 162 corresponds with BE in the figure on p. 146, while BZ in the figure on p. 162 corresponds with EA in the figure on p. 146.

λόγον. ἁπλῶς ἄρα λεγόμενον εἶχεν προσδιορισμόν· "προστιθεμένων δὲ τῶν προβλημάτων τῶν ἐνθάδε



ὑπαρχόντων," τουτέστι τοῦ τε διπλασίαν εἶναι τὴν ΔΒ *τῆς* ΖΒ *καὶ τοῦ μείζονα εἶναι τὴν* ΒΖ *τῆς* ΖΘ, *"οὐκ ἔχει διορισμόν." τὸ γὰρ ἀπὸ* ΔΒ *τὸ δοθὲν ἐπὶ τὴν* ΖΘ *τὴν δοθεῖσαν ἔλαττόν ἐστι τοῦ ἀπὸ τῆς* ΔΒ *ἐπὶ τὴν* ΒΖ *διὰ τὸ τὴν* ΒΖ *τῆς* ΖΘ *μείζονα εἶναι, οὗπερ ὑπάρχοντος ἐδείξαμεν δυνατόν, καὶ ὅπως προβαίνει τὸ πρόβλημα.*

---

[a] Eutocius proceeds to give solutions of the problem by Dionysodorus and Diocles, by whose time, as he has explained, Archimedes' own solution had already disappeared. Dionysodorus solves the less general equation by means of the intersection of a parabola and a rectangular hyperbola; Diocles solves the general problem by the intersection of an ellipse with a rectangular hyperbola, and his proof is both ingenious and intricate. Details may be consulted in Heath, *H.G.M.* ii. 46-49 and more fully in Heath,

cut in the given ratio. Therefore when the problem was stated generally, an investigation of the limits of possibility was necessary as well; "but under the conditions of the present case," that is, if $\Delta B = 2ZB$ and $BZ > Z\Theta$, "no such investigation is necessary." For the product of the given area ΔB^2 into the given straight line $Z\Theta$ is less than the product of ΔB^2 into BZ by reason of the fact that BZ is greater than $Z\Theta$, and we have shown that in this case there is a solution, and how it can be effected.[a]

The Works of Archimedes, pp. cxxiii-cxli, which deals with the whole subject of cubic equations in Greek mathematical history. It is there pointed out that the problem of finding mean proportionals is equivalent to the solution of a pure cubic equation, $\frac{a^3}{x^3}=\frac{a}{b}$, and that Menaechmus's solution, by the intersection of two conic sections (*v.* vol. i. pp. 278-283), is the precursor of the method adopted by Archimedes, Dionysodorus and Diocles. The solution of cubic equations by means of conics was, no doubt, found easier than a solution by the manipulation of parallelepipeds, which would have been analogous to the solution of quadratic equations by the application of areas (*v.* vol. i. pp. 186-215). No other examples of the solution of cubic equations have survived, but in his preface to the book *On Conoids and Spheroids* Archimedes says the results there obtained can be used to solve other problems, including the following, "*from a given spheroidal figure or conoid to cut off, by a plane drawn parallel to a given plane, a segment which shall be equal to a given cone or cylinder, or to a given sphere*" (Archim. ed. Heiberg i. 258. 11-15); the case of the paraboloid of revolution does not lead to a cubic equation, but those of the spheroid and hyperboloid of revolution do lead to cubics, which Archimedes may be presumed to have solved. The conclusion reached by Heath is that Archimedes solved completely, so far as the real roots are concerned, a cubic equation in which the term in x is absent: and as all cubic equations can be reduced to this form, he may be regarded as having solved geometrically the general cubic.

(d) Conoids and Spheroids

(i.) *Preface*

Archim. *De Con. et Sphaer.*, Praef., Archim. ed. Heiberg i. 246. 1-14

Ἀρχιμήδης Δοσιθέῳ εὖ πράττειν.

Ἀποστέλλω τοι γράψας ἐν τῷδε τῷ βιβλίῳ τῶν τε λοιπῶν θεωρημάτων τὰς ἀποδείξιας, ὧν οὐκ εἶχες ἐν τοῖς πρότερον ἀπεσταλμένοις, καὶ ἄλλων ὕστερον ποτεξευρημένων, ἃ πρότερον μὲν ἤδη πολλάκις ἐγχειρήσας ἐπισκέπτεσθαι δύσκολον ἔχειν τι φανείσας μοι τᾶς εὑρέσιος αὐτῶν ἀπόρησα· διόπερ οὐδὲ συνεξεδόθεν τοῖς ἄλλοις αὐτὰ τὰ προβεβλημένα. ὕστερον δὲ ἐπιμελέστερον ποτ' αὐτοῖς γενόμενος ἐξεῦρον τὰ ἀπορηθέντα. ἦν δὲ τὰ μὲν λοιπὰ τῶν προτέρων θεωρημάτων περὶ τοῦ ὀρθογωνίου κωνοειδέος προβεβλημένα, τὰ δὲ νῦν ἐντι ποτεξευρημένα περί τε ἀμβλυγωνίου κωνοειδέος καὶ περὶ σφαιροειδέων σχημάτων, ὧν τὰ μὲν παραμάκεα, τὰ δὲ ἐπιπλατέα καλέω.

(ii.) *Two Lemmas*

Ibid., Lemma ad Prop. 1, Archim. ed. Heiberg i. 260. 17-24

Εἴ κα ἔωντι μεγέθεα ὁποσαοῦν τῷ ἴσῳ ἀλλάλων

---

[a] In the books *On the Sphere and Cylinder*, *On Spirals* and on the *Quadrature of a Parabola*.

[b] *i.e.*, the paraboloid of revolution.

[c] *i.e.*, the hyperboloid of revolution.

[d] An *oblong spheroid* is formed by the revolution of an

(d) Conoids and Spheroids

(i.) *Preface*

Archimedes, *On Conoids and Spheroids*, Preface, Archim. ed. Heiberg i. 246. 1-14

Archimedes to Dositheus greeting.

I have written out and now send you in this book the proofs of the remaining theorems, which you did not have among those sent to you before,[a] and also of some others discovered later, which I had often tried to investigate previously but their discovery was attended with some difficulty and I was at a loss over them ; and for this reason not even the propositions themselves were forwarded with the rest. But later, when I had studied them more carefully, I discovered what had left me at a loss before. Now the remainder of the earlier theorems were propositions about the *right-angled conoid* [b] ; but the discoveries now added relate to an *obtuse-angled conoid* [c] and to *spheroidal figures*, of which I call some *oblong* and others *flat*.[d]

(ii.) *Two Lemmas*

Ibid., Lemma to Prop. 1, Archim. ed. Heiberg i. 260. 17-24

If there be a series of magnitudes, as many as you please, in which each term exceeds the previous term by an

ellipse about its major axis, a *flat spheroid* by the revolution of an ellipse about its minor axis.

In the remainder of our preface Archimedes gives a number of definitions connected with those solids. They are of importance in studying the development of Greek mathematical terminology.

ὑπερέχοντα, ᾗ δὲ ἁ ὑπεροχὰ ἴσα τῷ ἐλαχίστῳ, καὶ ἄλλα μεγέθεα τῷ μὲν πλήθει ἴσα τούτοις, τῷ δὲ μεγέθει ἕκαστον ἴσον τῷ μεγίστῳ, πάντα τὰ μεγέθεα, ὧν ἐστιν ἕκαστον ἴσον τῷ μεγίστῳ, πάντων μὲν τῶν τῷ ἴσῳ ὑπερεχόντων ἐλάσσονα ἐσσοῦνται ἢ διπλάσια, τῶν δὲ λοιπῶν χωρὶς τοῦ μεγίστου μείζονα ἢ διπλάσια. ἁ δὲ ἀπόδειξις τούτου φανερά.

Ibid., Prop. 1, Archim. ed. Heiberg i. 260. 26–261. 22

Εἴ κα *μεγέθεα ὁποσαοῦν τῷ πλήθει ἄλλοις μεγέθεσιν ἴσοις τῷ πλήθει κατὰ δύο τὸν αὐτὸν λόγον ἔχωντι τὰ ὁμοίως τεταγμένα, λέγηται δὲ τά τε πρῶτα μεγέθεα ποτ' ἄλλα μεγέθεα ἢ πάντα ἤ τινα αὐτῶν ἐν λόγοις ὁποιοισοῦν, καὶ τὰ ὕστερον ποτ' ἄλλα μεγέθεα τὰ ὁμόλογα ἐν τοῖς αὐτοῖς λόγοις, πάντα τὰ πρῶτα μεγέθεα ποτὶ πάντα, ἃ λέγονται, τὸν αὐτὸν ἑξοῦντι λόγον, ὃν ἔχοντι πάντα τὰ ὕστερον μεγέθεα ποτὶ πάντα, ἃ λέγονται.*

Ἔστω τινὰ μεγέθεα τὰ Α, Β, Γ, Δ, Ε, Ζ *ἄλλοις μεγέθεσιν ἴσοις τῷ πλήθει τοῖς,* Η, Θ, Ι, Κ, Λ, Μ

---

[a] If h is the common difference, the first series is h, $2h$, $3h$ . . . nh, and the second series is nh, nh . . . to n terms, its sum obviously being n^2h. The lemma asserts that

$$2(h+2h+3h+\ .\ .\ .\ \overline{n-1}h)<n^2h<2(h+2h+3h+\ .\ .\ .\ nh).$$

It is proved in the book *On Spirals*, Prop. 11. The proof is geometrical, lines being placed side by side to represent the *equal quantity, which common difference is equal to the least term, and if there be a second series of magnitudes, equal to the first in number, in which each term is equal to the greatest term [in the first series], the sum of the magnitudes in the series in which each term is equal to the greatest term is less than double of the sum of the magnitudes differing by an equal quantity, but greater than double of the sum of those magnitudes less the greatest term.* The proof of this is clear.[a]

Ibid., Prop. 1, Archim. ed. Heiberg i. 260. 26–261. 22

If there be a series of magnitudes, as many as you please, and it be equal in number to another series of magnitudes, and the terms have the same ratio two by two, and if any or all of the first series of magnitudes form any proportion with another series of magnitudes, and if the second series of magnitudes form the same proportion with the corresponding terms of another series of magnitudes, the sum of the first series of magnitudes bears to the sum of those with which they are in proportion the same ratio as the sum of the second series of magnitudes bears to the sums of the terms with which they are in proportion.

Let the series of magnitudes A, B, Γ, Δ, E, Z be equal in number to the series of magnitudes H, Θ, I,

terms of the arithmetical progression and produced until each is equal to the greatest term. It is equivalent to this algebraical proof:

Let	$Sn = h + 2h + 3h + \ . \ . \ . \ + nh.$
Then	$Sn = nh + (n-1)h + (n-2)h + \ . \ . \ . \ + h.$
Adding,	$2Sn = n(n+1)h,$
and so	$2S_{n-1} = (n-1)nh.$
Therefore	$2S_{n-1} < n^2h < 2Sn.$

κατὰ δύο τὸν αὐτὸν ἔχοντα λόγον, καὶ ἐχέτω τὸ μὲν Α ποτὶ τὸ Β τὸν αὐτὸν λόγον, ὃν τὸ Η ποτὶ τὸ Θ, τὸ δὲ Β ποτὶ τὸ Γ, ὃν τὸ Θ ποτὶ τὸ Ι, καὶ τὰ ἄλλα ὁμοίως τούτοις, λεγέσθω δὲ τὰ μὲν Α, Β, Γ, Δ, Ε, Ζ μεγέθεα ποτ' ἄλλα μεγέθεα τὰ Ν, Ξ, Ο, Π, Ρ, Σ ἐν λόγοις ὁποιοισοῦν, τὰ δὲ Η, Θ, Ι, Κ, Λ, Μ ποτ' ἄλλα τὰ Τ, Υ, Φ, Χ, Ψ, Ω, τὰ ὁμόλογα ἐν τοῖς αὐτοῖς λόγοις, καὶ ὃν μὲν ἔχει λόγον τὸ Α ποτὶ τὸ Ν, τὸ Η ἐχέτω ποτὶ τὸ Τ, ὃν δὲ λόγον ἔχει τὸ Β ποτὶ τὸ Ξ, τὸ Θ ἐχέτω ποτὶ τὸ Υ, καὶ τὰ ἄλλα ὁμοίως τούτοις· δεικτέον, ὅτι πάντα τὰ Α, Β, Γ, Δ, Ε, Ζ ποτὶ πάντα τὰ Ν, Ξ, Ο, Π, Ρ, Σ τὸν αὐτὸν ἔχοντι λόγον, ὃν πάντα τὰ Η, Θ, Ι, Κ, Λ, Μ ποτὶ πάντα τὰ Τ, Υ, Φ, Χ, Ψ, Ω.

---

[a] Since $N : A = T : H,\ A : B = H : \Theta,$ [*ex hyp.*

∴ *ex aequo* $N : B = T : \Theta.$ [Eucl. v. 22

But $B : \Xi = \Theta : \Upsilon;$ [*ex hyp.*

∴ *ex aequo* $N : \Xi = T : \Upsilon.$ [Eucl. v. 22

Similarly

$\Xi : O = \Upsilon : \Phi,\ O : \Pi = \Phi : X,\ \Pi : P = X : \Psi,\ P : \Sigma = \Psi : \Omega.$

Now since $A : B = H : \Theta,$ [*ex hyp.*

∴ *componendo* $A + B : A = H + \Theta : H,$ [Eucl. v. 18

i.e., *permutando* $A + B : H + \Theta = A : H.$ [Eucl. v. 16

But since $N : A = T : H,$ [*ex hyp.*

∴ $A : H = N : T$ [Eucl. v. 16

$= \Xi : \Upsilon$ [*ibid.*

$= O : \Phi$ [*ibid.*

$= \Gamma : I.$ [*ibid.*

∴ $A + B : H + \Theta = \Gamma : I.$

∴ $A + B + \Gamma : H + \Theta + I = \Gamma : I$ [Eucl. v. 18

$= O : \Phi$ [Eucl. v. 16

K, Λ, M, and let them have the same ratio two by two, so that

$$A : B = H : \Theta,\ B : \Gamma = \Theta : I,$$

and so on, and let the series of magnitudes A, B, Γ, Δ, E, Z form any proportion with another series of magnitudes N, Ξ, O, Π, P, Σ, and let H, Θ, I, K, Λ, M form the same proportion with the corresponding terms of another series, T, Υ, Φ, X, Ψ, Ω so that

$$A : N = H : T,\ B : \Xi = \Theta : \Upsilon,$$

and so on; it is required to prove that

$$\frac{A+B+\Gamma+\Delta+E+Z}{N+\Xi+O+\Pi+P+\Sigma} = \frac{H+\Theta+I+K+\Lambda+M}{T+\Upsilon+\Phi+X+\Psi+\Omega}.$$ [a]

$$= \Pi : X \qquad [ibid.$$
$$= \Delta : K. \qquad [ibid.$$

By pursuing this method it may be proved that

$$A+B+\Gamma+\Delta+E+Z : H+\Theta+I+K+\Lambda+M = A : H,$$

or, *permutando*,

$$A+B+\Gamma+\Delta+E+Z : A = H+\Theta+I+K+\Lambda+M : H. \quad (1)$$

Now $N : \Xi = T : \Upsilon$;

∴ *componendo et permutando*,

$$N+\Xi : T+\Upsilon = \Xi : \Upsilon \qquad [\text{Eucl. v. 18, v. 16}$$
$$= O : \Phi; \qquad [\text{Eucl. v. 16}$$

whence $N+\Xi+O : T+\Upsilon+\Phi = O : \Phi$, [Eucl. v. 18

and so on until we obtain

$$N+\Xi+O+\Pi+P+\Sigma : T+\Upsilon+\Phi+X+\Psi+\Omega = N : T. \quad (2)$$

But $A : N = H : T$; [*ex hyp.*

∴ by (1) and (2),

$$\frac{A+B+\Gamma+\Delta+E+Z}{N+\Xi+O+\Pi+P+\Sigma} = \frac{H+\Theta+I+K+\Lambda+M}{T+\Upsilon+\Phi+X+\Psi+\Omega}.$$

Q.E.D.

(iii.) *Volume of a Segment of a Paraboloid of Revolution*

Ibid., Prop. 21, Archim. ed. Heiberg i. 344. 21–354. 20

Πᾶν τμᾶμα ὀρθογωνίου κωνοειδέος ἀποτετμαμένον ἐπιπέδῳ ὀρθῷ ποτὶ τὸν ἄξονα ἡμιόλιόν ἐστι τοῦ κώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα.



Ἔστω γὰρ τμᾶμα ὀρθογωνίου κωνοειδέος ἀποτετμαμένον ὀρθῷ ἐπιπέδῳ ποτὶ τὸν ἄξονα, καὶ τμαθέντος αὐτοῦ ἐπιπέδῳ ἄλλῳ διὰ τοῦ ἄξονος τᾶς μὲν ἐπιφανείας τομὰ ἔστω ἁ ΑΒΓ *ὀρθογωνίου κώνου τομά, τοῦ δὲ ἐπιπέδου τοῦ ἀποτέμνοντος τὸ τμᾶμα ἁ* ΓΑ *εὐθεῖα, ἄξων δὲ ἔστω τοῦ τμάματος ἁ* ΒΔ, *ἔστω δὲ καὶ κῶνος τὰν αὐτὰν βάσιν ἔχων τῷ τμάματι καὶ ἄξονα τὸν αὐτόν, οὗ κορυφὰ τὸ* Β. *δεικτέον, ὅτι τὸ τμᾶμα τοῦ κωνοειδέος ἡμιόλιόν ἐστι τοῦ κώνου τούτου.*

Ἐκκείσθω γὰρ κῶνος ὁ Ψ *ἡμιόλιος ἐὼν τοῦ κώνου, οὗ βάσις ὁ περὶ διάμετρον τὰν* ΑΓ, *ἄξων δὲ ἁ* ΒΔ, *ἔστω δὲ καὶ κύλινδρος βάσιν μὲν ἔχων*

(iii.) *Volume of a Segment of a Paraboloid of Revolution*

Ibid., Prop. 21, Archim. ed. Heiberg i. 344. 21–354. 20

Any segment of a right-angled conoid cut off by a plane perpendicular to the axis is one-and-a-half times the cone having the same base as the segment and the same axis.



For let there be a segment of a right-angled conoid cut off by a plane perpendicular to the axis, and let it be cut by another plane through the axis, and let the section be the section of a right-angled cone ΑΒΓ,[a] and let ΓΑ be a straight line in the plane cutting off the segment, and let ΒΔ be the axis of the segment, and let there be a cone, with vertex Β, having the same base and the same axis as the segment. It is required to prove that the segment of the conoid is one-and-a-half times this cone.

For let there be set out a cone Ψ one-and-a-half times as great as the cone with base about the diameter ΑΓ and with axis ΒΔ, and let there be a

[a] It is proved in Prop. 11 that the section will be a parabola.

τὸν κύκλον τὸν περὶ διάμετρον τὰν ΑΓ, ἄξονα δὲ τὰν ΒΔ· ἐσσεῖται οὖν ὁ Ψ κῶνος ἡμίσεος τοῦ κυλίνδρου [ἐπείπερ ἡμιόλιός ἐστιν ὁ Ψ κῶνος τοῦ αὐτοῦ κώνου].[1] λέγω, ὅτι τὸ τμᾶμα τοῦ κωνοειδέος ἴσον ἐστὶ τῷ Ψ κώνῳ.

Εἰ γὰρ μή ἐστιν ἴσον, ἤτοι μεῖζόν ἐντι ἢ ἔλασσον. ἔστω δὴ πρότερον, εἰ δυνατόν, μεῖζον. ἐγγεγράφθω δὴ σχῆμα στερεὸν εἰς τὸ τμᾶμα, καὶ ἄλλο περιγεγράφθω ἐκ κυλίνδρων ὕψος ἴσον ἐχόντων συγκείμενον, ὥστε τὸ περιγραφὲν σχῆμα τοῦ ἐγγραφέντος ὑπερέχειν ἐλάσσονι, ᾗ ἁλίκῳ ὑπερέχει τὸ τοῦ κωνοειδέος τμᾶμα τοῦ Ψ κώνου, καὶ ἔστω τῶν κυλίνδρων, ἐξ ὧν σύγκειται τὸ περιγραφὲν σχῆμα, μέγιστος μὲν ὁ βάσιν ἔχων τὸν κύκλον τὸν περὶ διάμετρον τὰν ΑΓ, ἄξονα δὲ τὰν ΕΔ, ἐλάχιστος δὲ ὁ βάσιν μὲν ἔχων τὸν κύκλον τὸν περὶ διάμετρον τὰν ΣΤ, ἄξονα δὲ τὰν ΒΙ, τῶν δὲ κυλίνδρων, ἐξ ὧν σύγκειται τὸ ἐγγραφὲν σχῆμα, μέγιστος μὲν ἔστω ὁ βάσιν ἔχων τὸν κύκλον τὸν περὶ διάμετρον τὰν ΚΛ, ἄξονα δὲ τὰν ΔΕ, ἐλάχιστος δὲ ὁ βάσιν μὲν ἔχων τὸν κύκλον τὸν περὶ διάμετρον τὰν ΣΤ, ἄξονα δὲ τὰν ΘΙ, ἐκβεβλήσθω δὲ τὰ ἐπίπεδα πάντων τῶν κυλίνδρων ποτὶ τὰν

[1] ἐπείπερ . . . κώνου om. Heiberg.

[a] For the cylinder is three times, and the cone Ψ one-and-a-

cylinder having for its base the circle about the diameter ΑΓ and for its axis ΒΔ; then the cone Ψ is one-half of the cylinder [a]; I say that the segment of the conoid is equal to the cone Ψ.

If it be not equal, it is either greater or less. Let it first be, if possible, greater. Then let there be inscribed in the segment a solid figure and let there be circumscribed another solid figure made up of cylinders having an equal altitude,[b] in such a way that the circumscribed figure exceeds the inscribed figure by a quantity less than that by which the segment of the conoid exceeds the cone Ψ [Prop. 19]; and let the greatest of the cylinders composing the circumscribed figure be that having for its base the circle about the diameter ΑΓ and for axis ΕΔ, and let the least be that having for its base the circle about the diameter ΣΤ and for axis ΒΙ; and let the greatest of the cylinders composing the inscribed figure be that having for its base the circle about the diameter ΚΛ and for axis ΔΕ, and let the least be that having for its base the circle about the diameter ΣΤ and for axis ΘΙ; and let the planes of all the cylinders be

half times, as great as the same cone; but because τοῦ αὐτοῦ κώνου is obscure and ἐπείπερ often introduces an interpolation, Heiberg rejects the explanation to this effect in the text.

[b] Archimedes has used those inscribed and circumscribed figures in previous propositions. The paraboloid is generated by the revolution of the parabola ΑΒΓ about its axis ΒΔ. Chords ΚΛ . . . ΣΤ are drawn in the parabola at right angles to the axis and at equal intervals from each other. From the points where they meet the parabola, perpendiculars are drawn to the next chords. In this way there are built up inside and outside the parabola "staggered" figures consisting of decreasing rectangles. When the parabola revolves, the rectangles become cylinders, and the segment of the paraboloid lies between the inscribed set of cylinders and the circumscribed set of cylinders.

ἐπιφάνειαν τοῦ κυλίνδρου τοῦ βάσιν ἔχοντος τὸν κύκλον τὸν περὶ διάμετρον τὰν ΑΓ, *ἄξονα δὲ τὰν* ΒΔ· *ἐσσεῖται δὴ ὁ ὅλος κύλινδρος διῃρημένος εἰς κυλίνδρους τῷ μὲν πλήθει ἴσους τοῖς κυλίνδροις τοῖς ἐν τῷ περιγεγραμμένῳ σχήματι, τῷ δὲ μεγέθει ἴσους τῷ μεγίστῳ αὐτῶν. καὶ ἐπεὶ τὸ περιγεγραμμένον σχῆμα περὶ τὸ τμᾶμα ἐλάσσονι ὑπερέχει τοῦ ἐγγεγραμμένου σχήματος ἢ τὸ τμᾶμα τοῦ κώνου, δῆλον, ὅτι καὶ τὸ ἐγγεγραμμένον σχῆμα ἐν τῷ τμάματι μεῖζόν ἐστι τοῦ* Ψ *κώνου. ὁ δὴ πρῶτος κύλινδρος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ὁ ἔχων ἄξονα τὰν* ΔΕ *ποτὶ τὸν πρῶτον κύλινδρον τῶν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι τὸν ἔχοντα ἄξονα τὰν* ΔΕ *τὸν αὐτὸν ἔχει λόγον, ὃν ἁ* ΔΑ *ποτὶ τὰν* ΚΕ *δυνάμει· οὗτος δέ ἐστιν ὁ αὐτὸς τῷ, ὃν ἔχει ἁ* ΒΔ *ποτὶ τὰν* ΒΕ, *καὶ τῷ, ὃν ἔχει ἁ* ΔΑ *ποτὶ τὰν* ΕΞ. *ὁμοίως δὲ δειχθήσεται καὶ ὁ δεύτερος κύλινδρος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ὁ ἔχων ἄξονα τὸν* ΕΖ *ποτὶ τὸν δεύτερον κύλινδρον τῶν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι τὸν αὐτὸν ἔχειν λόγον, ὃν ἁ* ΠΕ, *τουτέστιν ἁ* ΔΑ, *ποτὶ τὰν* ΖΟ, *καὶ τῶν ἄλλων κυλίνδρων ἕκαστος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ἄξονα ἐχόντων ἴσον τᾷ* ΔΕ *ποτὶ ἕκαστον τῶν κυλίνδρων τῶν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι ἄξονα ἐχόντων τὸν αὐτὸν ἕξει τοῦτον τὸν λόγον, ὃν ἁ ἡμίσεια τᾶς διαμέτρου τᾶς βάσιος αὐτοῦ ποτὶ τὰν ἀπολελαμμέναν ἀπ' αὐτᾶς μεταξὺ τᾶν* ΑΒ, ΒΔ *εὐθειᾶν· καὶ πάντες οὖν οἱ κύλινδροι οἱ ἐν τῷ κυλίνδρῳ, οὗ βάσις μέν ἐστιν ὁ κύκλος ὁ περὶ διάμετρον τὰν* ΑΓ, *ἄξων δέ [ἐστιν]*[1] *ἁ* ΔΙ *εὐθεῖα, ποτὶ πάντας τοὺς κυλίνδρους τοὺς ἐν τῷ ἐγγεγραμμένῳ σχήματι τὸν αὐτὸν ἑξοῦντι λόγον, ὃν* produced to the surface of the cylinder having for its base the circle about the diameter ΑΓ and for axis ΒΔ; then the whole cylinder is divided into cylinders equal in number to the cylinders in the circumscribed figure and in magnitude equal to the greatest of them. And since the figure circumscribed about the segment exceeds the inscribed figure by a quantity less than that by which the segment exceeds the cone, it is clear that the figure inscribed in the segment is greater than the cone Ψ.[a] Now the first cylinder of those in the whole cylinder, that having ΔΕ for its axis, bears to the first cylinder in the inscribed figure, which also has ΔΕ for its axis, the ratio $\Delta\mathrm{A}^2 : \mathrm{KE}^2$ [Eucl. xii. 11 and xii. 2]; but $\Delta\mathrm{A}^2 : \mathrm{KE}^2 = \mathrm{B}\Delta : \mathrm{BE}$ [b] $= \Delta\mathrm{A} : \mathrm{E}\Xi$. Similarly it may be proved that the second cylinder of those in the whole cylinder, that having ΕΖ for its axis, bears to the second cylinder in the inscribed figure the ratio ΠΕ : ΖΟ, that is, ΔΑ : ΖΟ, and each of the other cylinders in the whole cylinder, having its axis equal to ΔΕ, bears to each of the cylinders in the inscribed figure, having the same axis in order, the same ratio as half the diameter of the base bears to the part cut off between the straight lines ΑΒ, ΒΔ; and therefore the sum of the cylinders in the cylinder having for its base the circle about the diameter ΑΓ and for axis the straight line ΔΙ bears to the sum of the cylinders in the inscribed figure the same ratio as the sum of

[a] Because the circumscribed figure is greater than the segment.

[b] By the property of the parabola; *v. Quadr. parab.* 3.

[1] ἐστιν om. Heiberg.

πᾶσαι αἱ εὐθεῖαι αἱ ἐκ τῶν κέντρων τῶν κύκλων, οἵ ἐντι βάσιες τῶν εἰρημένων κυλίνδρων, ποτὶ πάσας τὰς εὐθείας τὰς ἀπολελαμμένας ἀπ' αὐτᾶν μεταξὺ τᾶν AB, BΔ. *αἱ δὲ εἰρημέναι εὐθεῖαι τῶν εἰρημένων χωρὶς τᾶς* AΔ *μείζονές ἐντι ἢ διπλάσιαι· ὥστε καὶ οἱ κυλίνδροι πάντες οἱ ἐν τῷ κυλίνδρῳ, οὗ ἄξων ὁ* ΔI, *μείζονές ἐντι ἢ διπλάσιοι τοῦ ἐγγεγραμμένου σχήματος· πολλῷ ἄρα καὶ ὁ ὅλος κύλινδρος, οὗ ἄξων ἁ* ΔB, *μείζων ἐντὶ ἢ διπλασίων τοῦ ἐγγεγραμμένου σχήματος. τοῦ δὲ* Ψ *κώνου ἦν διπλασίων· ἔλασσον ἄρα τὸ ἐγγεγραμμένον σχῆμα τοῦ* Ψ *κώνου· ὅπερ ἀδύνατον· ἐδείχθη γὰρ μεῖζον. οὐκ ἄρα ἐστὶν μεῖζον τὸ κωνοειδὲς τοῦ* Ψ *κώνου.*

Ὁμοίως δὲ οὐδὲ ἔλασσον· πάλιν γὰρ ἐγγεγράφθω τὸ σχῆμα καὶ περιγεγράφθω, ὥστε ὑπερέχειν [ἕκαστον][1] *ἐλάσσονι, ἢ ἁλίκῳ ὑπερέχει ὁ* Ψ *κῶνος τοῦ κωνοειδέος, καὶ τὰ ἄλλα τὰ αὐτὰ τοῖς πρότερον κατεσκευάσθω. ἐπεὶ οὖν ἔλασσόν ἐστι τὸ ἐγγεγραμμένον σχῆμα τοῦ τμάματος, καὶ τὸ ἐγγραφὲν τοῦ περιγραφέντος ἐλάσσονι λείπεται ἢ τὸ τμᾶμα τοῦ* Ψ *κώνου, δῆλον, ὡς ἔλασσόν ἐστι τὸ περιγραφὲν σχῆμα τοῦ* Ψ *κώνου. πάλιν δὲ ὁ*

[1] *ἕκαστον* om. Heiberg, *ἕκαστον ἑκάστου* Torelli (for *ἑκάτερον ἑκατέρου*).

ᵃ *i.e.*, $\dfrac{\text{First cylinder in whole cylinder}}{\text{First cylinder in inscribed figure}} = \dfrac{\Delta\mathrm{A}}{\mathrm{E}\Xi}$,

$\dfrac{\text{Second cylinder in whole cylinder}}{\text{Second cylinder in inscribed figure}} = \dfrac{\mathrm{E}\Pi}{\mathrm{ZO}}$,

and so on.

$\therefore \quad \dfrac{\text{Whole cylinder}}{\text{Inscribed figure}} = \dfrac{\Delta\mathrm{A} + \mathrm{E}\Pi + \ldots}{\mathrm{E}\Xi + \mathrm{ZO} + \ldots}.$

the radii of the circles, which are the bases of the aforesaid cylinders, bears to the sum of the straight lines cut off from them between AB, BΔ.[a] But the sum of the aforesaid straight lines is greater than double of the aforesaid straight lines without AΔ[b]; so that the sum of the cylinders in the cylinder whose axis is ΔI is greater than double of the inscribed figure; therefore the whole cylinder, whose axis is ΔB, is greater by far than double of the inscribed figure. But it was double of the cone Ψ; therefore the inscribed figure is less than the cone Ψ; which is impossible, for it was proved to be greater. Therefore the conoid is not greater than the cone Ψ.

Similarly [it can be shown] not to be less; for let the figure be again inscribed and another circumscribed so that the excess is less than that by which the cone Ψ exceeds the conoid, and let the rest of the construction be as before. Then because the inscribed figure is less than the segment, and the inscribed figure is less than the circumscribed by some quantity less than the difference between the segment and the cone Ψ, it is clear that the circumscribed figure is less than the cone Ψ. Again, the first

[a] This follows from Prop. 1, for

$$\frac{\text{First cylinder in whole cylinder}}{\text{Second cylinder in whole cylinder}}=1=\frac{\Delta\mathrm{A}}{\mathrm{E\Pi}},$$

and so on, and thus the other condition of the theorem is satisfied.

[b] For ΔA, EΞ, ZO . . . is a series diminishing in arithmetical progression, and ΔA, EΠ . . . is a series, equal in number, in which each term is equal to the greatest in the arithmetical progression. Therefore, by the Lemma to Prop. 1,

$$\Delta\mathrm{A}+\mathrm{E\Pi}+\ldots>2(\mathrm{E\Xi}+\mathrm{ZO}+\ldots).$$

πρῶτος κύλινδρος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ὁ ἔχων ἄξονα τὰν ΔΕ ποτὶ τὸν πρῶτον κύλινδρον τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι τὸν τὸν αὐτὸν ἔχοντα ἄξονα τὰν ΕΔ τὸν αὐτὸν ἔχει λόγον, ὃν τὸ ἀπὸ τᾶς ΑΔ τετράγωνον ποτὶ τὸ αὐτό, ὁ δὲ δεύτερος κύλινδρος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ὁ ἔχων ἄξονα τὰν ΕΖ ποτὶ τὸν δεύτερον κύλινδρον τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι τὸν ἔχοντα ἄξονα τὰν ΕΖ τὸν αὐτὸν ἔχει λόγον, ὃν ἁ ΔΑ ποτὶ τὰν ΚΕ δυνάμει· οὗτος δέ ἐστιν ὁ αὐτὸς τῷ, ὃν ἔχει ἁ ΒΔ ποτὶ τὰν ΒΕ, καὶ τῷ, ὃν ἔχει ἁ ΔΑ ποτὶ τὰν ΕΞ· καὶ τῶν ἄλλων κυλίνδρων ἕκαστος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ἄξονα ἐχόντων ἴσον τᾳ ΔΕ ποτὶ ἕκαστον τῶν κυλίνδρων τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι ἄξονα ἐχόντων τὸν αὐτόν, ἕξει τοῦτον τὸν λόγον, ὃν ἁ ἡμίσεια τᾶς διαμέτρου τᾶς βάσιος αὐτοῦ ποτὶ τὰν ἀπολελαμμέναν ἀπ' αὐτᾶς μεταξὺ τᾶν ΑΒ, ΒΔ εὐθειᾶν· καὶ πάντες οὖν οἱ κυλίνδροι οἱ ἐν τῷ ὅλῳ κυλίνδρῳ, οὗ ἄξων ἐστὶν ἁ ΒΔ εὐθεῖα, ποτὶ πάντας τοὺς κυλίνδρους τοὺς ἐν τῷ περιγεγραμμένῳ σχήματι τὸν αὐτὸν ἑξοῦντι λόγον, ὃν πᾶσαι αἱ εὐθεῖαι ποτὶ πάσας τὰς εὐθείας. αἱ δὲ εὐθεῖαι πᾶσαι αἱ ἐκ τῶν κέντρων τῶν κύκλων, οἳ βάσιές ἐντι τῶν κυλίνδρων, τᾶν εὐθειᾶν πασᾶν τᾶν ἀπολελαμμενᾶν ἀπ' αὐτᾶν σὺν τᾳ ΑΔ ἐλάσσονές ἐντι

---

[a] As before,

$$\frac{\text{First cylinder in whole cylinder}}{\text{First cylinder in circumscribed figure}}=\frac{\Delta\text{A}}{\Delta\text{A}}$$

$$\frac{\text{Second cylinder in whole cylinder}}{\text{Second cylinder in circumscribed figure}}=\frac{\Delta\text{A}}{\text{E}\Xi}=\frac{\text{E}\Pi}{\text{E}\Xi},$$

and so on.

cylinder of those in the whole cylinder, having ΔE for its axis, bears to the first cylinder of those in the circumscribed figure, having the same axis EΔ, the ratio $A\Delta^2 : A\Delta^2$; the second cylinder in the whole cylinder, having EZ for its axis, bears to the second cylinder in the circumscribed figure, having EZ also for its axis, the ratio $\Delta A^2 : KE^2$; this is the same as BΔ : BE, and this is the same as ΔA : EΞ; and each of the other cylinders in the whole cylinder, having its axis equal to ΔE, will bear to the corresponding cylinder in the circumscribed figure, having the same axis, the same ratio as half the diameter of the base bears to the portion cut off from it between the straight lines AB, BΔ; and therefore the sum of the cylinders in the whole cylinder, whose axis is the straight line BΔ, bears to the sum of the cylinders in the circumscribed figure the same ratio as the sum of the one set of straight lines bears to the sum of the other set of straight lines.[a] But the sum of the radii of the circles which are the bases of the cylinders is less than double of the sum of the straight lines cut off from them together with AΔ [b]; it is therefore clear

And

$$\frac{\text{First cylinder in whole cylinder}}{\text{Second cylinder in whole cylinder}} = 1 = \frac{\Delta A}{E\Pi},$$

and so on.

Therefore the conditions of Prop. 1 are satisfied and

$$\frac{\text{Whole cylinder}}{\text{Circumscribed figure}} = \frac{\Delta A + E\Pi + \ldots}{\Delta A + E\Xi + \ldots}.$$

[b] As before, ΔA, EΞ . . . is a series diminishing in arithmetical progression, and ΔA, EΠ . . . is a series, equal in number, in which each term is equal to the greatest in the arithmetical progression.

Therefore, by the Lemma to Prop. 1,

$$\Delta A + E\Pi + \ldots < 2(\Delta A + E\Xi + \ldots).$$

ἢ διπλάσιαι· δῆλον οὖν, ὅτι καὶ οἱ κυλίνδροι πάντες οἱ ἐν τῷ ὅλῳ κυλίνδρῳ ἐλάσσονές ἐντι ἢ διπλάσιοι τῶν κυλίνδρων τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι· ὁ ἄρα κύλινδρος ὁ βάσιν ἔχων τὸν κύκλον τὸν περὶ διάμετρον τὰν ΑΓ, ἄξονα δὲ τὰν ΒΔ, ἐλάσσων ἐστὶν ἢ διπλασίων τοῦ περιγεγραμμένου σχήματος. οὐκ ἔστι δέ, ἀλλὰ μείζων ἢ διπλάσιος· τοῦ γὰρ Ψ κώνου διπλασίων ἐστί, τὸ δὲ περιγεγραμμένον σχῆμα ἔλαττον ἐδείχθη τοῦ Ψ κώνου. οὐκ ἄρα ἐστὶν οὐδὲ ἔλασσον τὸ τοῦ κωνοειδέος τμᾶμα τοῦ Ψ κώνου. ἐδείχθη δέ, ὅτι οὐδὲ μεῖζον· ἡμιόλιον ἄρα ἐστὶν τοῦ κώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτόν.

---

[a] Archimedes' proof may be shown to be equivalent to an integration, as Heath has done (*The Works of Archimedes*, cxlvii-cxlviii).

For, if n be the number of cylinders in the whole cylinder, and $A\Delta = nh$, Archimedes has shown that

$$\frac{\text{Whole cylinder}}{\text{Inscribed figure}} = \frac{n^2h}{h+2h+3h+\ldots(n-1)h} > 2, \qquad \text{[Lemma to Prop. 1}$$

and

$$\frac{\text{Whole cylinder}}{\text{Circumscribed figure}} = \frac{n^2h}{n+2h+3h+\ldots+nh} < 2. \qquad [\textit{ibid.}$$

In Props. 19 and 20 he has meanwhile shown that, by increasing n sufficiently, the inscribed and circumscribed figures can be made to differ by less than any assigned volume.

that the sum of all the cylinders in the whole cylinder is less than double of the cylinders in the circumscribed figure ; therefore the cylinder having for its base the circle about the diameter ΑΓ and for axis ΒΔ is less than double of the circumscribed figure. But it is not, for it is greater than double ; for it is double of the cone Ψ, and the circumscribed figure was proved to be less than the cone Ψ. Therefore the segment of the conoid is not less than the cone Ψ. But it was proved not to be greater ; therefore it is one-and-a-half times the cone having the same base as the segment and the same axis.[a]

When n is increased, h is diminished, but their product remains constant ; let $nh = c$.

Then the proof is equivalent to an assertion that, when n is indefinitely increased,

limit of $\quad h[h + 2h + 3h + \ldots + (n-1)h] = \frac{1}{2}c^2$,

which, in the notation of the integral calculus reads,

$$\int_0^c x\,dx = \tfrac{1}{2}c^2.$$

If the paraboloid is formed by the revolution of the parabola $y^2 = ax$ about its axis, we should express the volume of a segment as

$$\int_0^c \pi y^2 dx,$$

or

$$\pi a . \int_0^c x\,dx.$$

The constant does not appear in Archimedes' proof because he merely compares the volume of the segment with the cone, and does not give its absolute value. But his method is seen to be equivalent to a genuine integration.

As in other cases, Archimedes refrains from the final step of making the divisions in his circumscribed and inscribed figures indefinitely large ; he proceeds by the orthodox method of *reductio ad absurdum.*

(e) The Spiral of Archimedes

(i.) *Definitions*

Archim. *De Lin. Spir.*, Deff., Archim. ed. Heiberg ii. 44. 17–46. 21

α′. Εἴ κα εὐθεῖα ἐπιζευχθῇ γραμμὰ ἐν ἐπιπέδῳ καὶ μένοντος τοῦ ἑτέρου πέρατος αὐτᾶς ἰσοταχέως περιενεχθεῖσα ὁσακισοῦν ἀποκατασταθῇ πάλιν, ὅθεν ὥρμασεν, ἅμα δὲ τᾷ γραμμᾷ περιαγομένᾳ φέρηταί τι σαμεῖον ἰσοταχέως αὐτὸ ἑαυτῷ κατὰ τᾶς εὐθείας ἀρξάμενον ἀπὸ τοῦ μένοντος πέρατος, τὸ σαμεῖον ἕλικα γράψει ἐν τῷ ἐπιπέδῳ.

β′. Καλείσθω οὖν τὸ μὲν πέρας τᾶς εὐθείας τὸ μένον περιαγομένας αὐτᾶς ἀρχὰ τᾶς ἕλικος.

γ′. Ἁ δὲ θέσις τᾶς γραμμᾶς, ἀφ' ἇς ἄρξατο ἁ εὐθεῖα περιφέρεσθαι, ἀρχὰ τῆς περιφορᾶς.

δ′. Εὐθεῖα, ἃν μὲν ἐν τᾷ πρώτᾳ περιφορᾷ διαπορευθῇ τὸ σαμεῖον τὸ κατὰ τᾶς εὐθείας φερόμενον, πρώτα καλείσθω, ἃν δ' ἐν τᾷ δευτέρᾳ περιφορᾷ τὸ αὐτὸ σαμεῖον διανύσῃ, δευτέρα, καὶ αἱ ἄλλαι ὁμοίως ταύταις ὁμωνύμως ταῖς περιφοραῖς καλείσθωσαν.

ε′. Τὸ δὲ χωρίον τὸ περιλαφθὲν ὑπό τε τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γραφείσας καὶ τᾶς εὐθείας, ἅ ἐστιν πρώτα, πρῶτον καλείσθω, τὸ δὲ περιλαφθὲν ὑπό τε τᾶς ἕλικος τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γραφείσας καὶ τᾶς εὐθείας τᾶς δευτέρας δεύτερον καλείσθω, καὶ τὰ ἄλλα ἑξῆς οὕτω καλείσθω.

ϛ′. Καὶ εἴ κα ἀπὸ τοῦ σαμείου, ὅ ἐστιν ἀρχὰ τᾶς ἕλικος, ἀχθῇ τις εὐθεῖα γραμμά, τᾶς εὐθείας ταύτας

(e) The Spiral of Archimedes

(i.) *Definitions*

Archimedes, *On Spirals*, Definitions, Archim. ed. Heiberg ii. 44. 17–46. 21

1. If a straight line drawn in a plane revolve uniformly any number of times about a fixed extremity until it return to its original position, and if, at the same time as the line revolves, a point move uniformly along the straight line, beginning at the fixed extremity, the point will describe a *spiral* in the plane.

2. Let the extremity of the straight line which remains fixed while the straight line revolves be called the *origin* of the spiral.

3. Let the position of the line, from which the straight line began to revolve, be called the *initial line* of the revolution.

4. Let the distance along the straight line which the point moving along the straight line traverses in the first turn be called the *first distance*, let the distance which the same point traverses in the second turn be called the *second distance*, and in the same way let the other distances be called according to the number of turns.

5. Let the area comprised between the first turn of the spiral and the first distance be called the *first area*, let the area comprised between the second turn of the spiral and the second distance be called the *second area*, and let the remaining areas be so called in order.

6. And if any straight line be drawn from the origin, let [points] on the side of this straight line in

τὰ ἐπὶ τὰ αὐτά, ἐφ' ἅ κα ἁ περιφορὰ γένηται, προαγούμενα καλείσθω, τὰ δὲ ἐπὶ θάτερα ἑπόμενα.

ζ΄. Ὅ τε γραφεὶς κύκλος κέντρῳ μὲν τῷ σαμείῳ, ὅ ἐστιν ἀρχὰ τᾶς ἕλικος, διαστήματι δὲ τᾷ εὐθείᾳ, ἅ ἐστιν πρώτα, πρῶτος καλείσθω, ὁ δὲ γραφεὶς κέντρῳ μὲν τῷ αὐτῷ, διαστήματι δὲ τᾷ διπλασίᾳ εὐθείᾳ δεύτερος καλείσθω, καὶ οἱ ἄλλοι δὲ ἑξῆς τούτοις τὸν αὐτὸν τρόπον.

(ii.) *Fundamental Property*

Ibid., Prop. 14, Archim. ed. Heiberg ii. 50. 9–52. 15

Εἴ κα ποτὶ τὰν ἕλικα τὰν ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμέναν ποτιπεσῶντι δύο εὐθεῖαι ἀπὸ τοῦ σαμείου, ὅ ἐστιν ἀρχὰ τᾶς ἕλικος, καὶ ἐκβληθέωντι ποτὶ τὰν τοῦ πρώτου κύκλου περιφέρειαν, τὸν αὐτὸν ἑξοῦντι λόγον αἱ ποτὶ τὰν ἕλικα ποτιπίπτουσαι ποτ' ἀλλάλας, ὃν αἱ περιφέρειαι τοῦ κύκλου αἱ μεταξὺ τοῦ πέρατος τᾶς ἕλικος καὶ τῶν περάτων τᾶν ἐκβληθεισᾶν εὐθειᾶν τῶν ἐπὶ τᾶς περιφερείας γινομένων, ἐπὶ τὰ προαγούμενα λαμβανομενᾶν τᾶν περιφερειᾶν ἀπὸ τοῦ πέρατος τᾶς ἕλικος.

Ἔστω ἕλιξ ἁ ΑΒΓΔΕΘ ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, ἀρχὰ δὲ τᾶς μὲν ἕλικος ἔστω τὸ Α σαμεῖον, ἁ δὲ ΘΑ εὐθεῖα ἀρχὰ τᾶς περιφορᾶς ἔστω, καὶ κύκλος ὁ ΘΚΗ ἔστω ὁ πρῶτος, ποτιπιπτόντων δὲ ἀπὸ τοῦ Α σαμείου ποτὶ τὰν ἕλικα αἱ ΑΕ, ΑΔ καὶ ἐκπιπτόντων ποτὶ τὰν τοῦ κύκλου περιφέρειαν ἐπὶ τὰ Ζ, Η. δεικτέον, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἁ ΑΕ ποτὶ τὰν ΑΔ, ὃν ἁ ΘΚΖ περιφέρεια ποτὶ τὰν ΘΚΗ περιφέρειαν.

Περιαγομένας γὰρ τᾶς ΑΘ γραμμᾶς δῆλον, ὡς the direction of the revolution be called *forward*, and let those on the other side be called *rearward.*

7. Let the circle described with the origin as centre and the first distance as radius be called the *first circle*, let the circle described with the same centre and double of the radius of the first circle[a] be called the *second circle*, and let the remaining circles in order be called after the same manner.

(ii.) *Fundamental Property*

Ibid., Prop. 14, Archim. ed. Heiberg ii. 50. 9–52. 15

If, from the origin of the spiral, two straight lines be drawn to meet the first turn of the spiral and produced to meet the circumference of the first circle, the lines drawn to the spiral will have the same ratio one to the other as the arcs of the circle between the extremity of the spiral and the extremities of the straight lines produced to meet the circumference, the arcs being measured in a forward direction from the extremity of the spiral.

Let ΑΒΓΔΕΘ be the first turn of a spiral, let the point Α be the origin of the spiral, let ΘΑ be the initial line, let ΘΚΗ be the first circle, and from the point Α let ΑΕ, ΑΔ be drawn to meet the spiral and be produced to meet the circumference of the circle at Ζ, Η. It is required to prove that ΑΕ : ΑΔ = arc ΘΚΖ : arc ΘΚΗ.

When the line ΑΘ revolves it is clear that the point

[a] *i.e.*, with radius equal to the sum of the radii of the first and second circles.

τὸ μὲν Θ σαμεῖον κατὰ τᾶς τοῦ ΘΚΗ κύκλου περιφερείας ἐνηνεγμένον ἐστὶν ἰσοταχέως, τὸ δὲ



Α *κατὰ τᾶς εὐθείας φερόμενον τὰν* ΑΘ *γραμμὰν πορεύεται, καὶ τὸ* Θ *σαμεῖον κατὰ τᾶς τοῦ κύκλου περιφερείας φερόμενον τὰν* ΘΚΖ *περιφέρειαν, τὸ δὲ* Α *τὰν* ΑΕ *εὐθεῖαν, καὶ πάλιν τό τε* Α *σαμεῖον τὰν* ΑΔ *γραμμὰν καὶ τὸ* Θ *τὰν* ΘΚΗ *περιφέρειαν, ἑκάτερον ἰσοταχέως αὐτὸ ἑαυτῷ φερόμενον· δῆλον οὖν, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἁ* ΑΕ *ποτὶ τὰν* ΑΔ, *ὃν ἁ* ΘΚΖ *περιφέρεια ποτὶ τὰν* ΘΚΗ *περιφέρειαν [δέδεικται γὰρ τοῦτο ἔξω ἐν τοῖς πρώτοις].*[1]

Ὁμοίως δὲ δειχθήσεται, καὶ εἴ κα ἁ ἑτέρα τᾶν ποτιπιπτουσᾶν ἐπὶ τὸ πέρας τᾶς ἕλικος ποτιπίπτῃ, ὅτι τὸ αὐτὸ συμβαίνει.

(iii.) *A Verging*

Ibid., Prop. 7, Archim. ed. Heiberg ii. 22. 14–24. 7

Τῶν αὐτῶν δεδομένων καὶ τᾶς ἐν τῷ κύκλῳ εὐθείας ἐκβεβλημένας δυνατόν ἐστιν ἀπὸ τοῦ

Θ moves uniformly round the circumference ΘKH of the circle while the point A, which moves along the straight line, traverses the line AΘ; the point Θ which moves round the circumference of the circle traverses the arc ΘKZ while A traverses the straight line AE; and furthermore the point A traverses the line AΔ in the same time as Θ traverses the arc ΘKH, each moving uniformly; it is clear, therefore, that AE : AΔ = arc ΘKZ : arc ΘKH [Prop. 2].

Similarly it may be shown that if one of the straight lines be drawn to the extremity of the spiral the same conclusion follows.[a]

(iii.) *A Verging*[b]

Ibid., Prop. 7, Archim. ed. Heiberg ii. 22. 14–24. 7

With the same data and the chord in the circle produced,[c] *it is possible to draw a line from the centre to meet*

[a] In Prop. 15 Archimedes shows (using different letters, however) that if AE, AΔ are drawn to meet the *second* turn of the spiral, while AZ, AH are drawn, as before, to meet the circumference of the *first* circle, then

$$\text{AE} : \text{A}\Delta = \text{arc } \Theta\text{KZ} + \text{circumference of first circle} : \text{arc } \Theta\text{KH} + \text{circumference of first circle},$$

and so on for higher turns.

In general, if E, Δ lie on the nth turn of the spiral, and the circumference of the first circle is c, then

$$\text{AE} : \text{A}\Delta = \text{arc } \Theta\text{KZ} + \overline{n-1}c : \text{arc } \Theta\text{KH} + \overline{n-1}c.$$

These theorems correspond to the equation of the curve $r = a\theta$ in polar co-ordinates.

[b] This theorem is essential to the one that follows.

[c] See n. *a* on this page.

[1] δέδεικται . . . πρώτοις om. Heiberg.

κέντρου ποτιβαλεῖν ποτὶ τὰν ἐκβεβλημέναν, ὥστε τὰν μεταξὺ τᾶς περιφερείας καὶ τᾶς ἐκβεβλημένας ποτὶ τὰν ἐπιζευχθεῖσαν ἀπὸ τοῦ πέρατος τᾶς ἐναπολαφθείσας ποτὶ τὸ πέρας τᾶς ἐκβεβλημένας τὸν ταχθέντα λόγον ἔχειν, εἴ κα ὁ δοθεὶς λόγος μείζων ᾖ τοῦ, ὃν ἔχει ἁ ἡμίσεια τᾶς ἐν τῷ κύκλῳ δεδομένας ποτὶ τὰν ἀπὸ τοῦ κέντρου κάθετον ἐπ' αὐτὰν ἀγμέναν.

Δεδόσθω τὰ αὐτά, καὶ ἔστω ἁ ἐν τῷ κύκλῳ γραμμὰ ἐκβεβλημένα, ὁ δὲ δοθεὶς λόγος ἔστω, ὃν ἔχει ἁ Ζ *ποτὶ τὰν* Η, *μείζων τοῦ, ὃν ἔχει ἁ* ΓΘ *ποτὶ τὰν* ΘΚ· *μείζων οὖν ἐσσεῖται καὶ τοῦ, ὃν ἔχε ἁ* ΚΓ *ποτὶ* ΓΛ. *ὃν δὴ λόγον ἔχει ἁ* Ζ *ποτὶ* Η *τοῦτον ἕξει ἁ* ΚΓ *ποτὶ ἐλάσσονα τᾶς* ΓΛ. *ἐχέτω ποτὶ* ΙΝ *νεύουσαν ἐπὶ τὸ* Γ*—δυνατὸν δέ ἐστιν οὕτως τέμνειν—καὶ πεσεῖται ἐντὸς τᾶς* ΓΛ, *ἐπειδὴ ἐλάσσων ἐστὶ τᾶς* ΓΛ. *ἐπεὶ οὖν τὸν αὐτὸν ἔχει λόγον ἁ* ΚΓ *ποτὶ* ΙΝ, *ὃν ἁ* Ζ *ποτὶ* Η, *καὶ ἁ* ΕΙ *ποτὶ* ΙΓ *τὸν αὐτὸν ἕξει λόγον, ὃν ἁ* Ζ *ποτὶ τὰν* Η.

---

[a] ΑΓ is a chord in a circle of centre Κ, and ΒΝ is the diameter drawn parallel to ΑΓ and produced. From Κ, ΚΘ is drawn perpendicular to ΑΓ, and ΓΛ is drawn perpendicular to ΚΓ so as to meet the diameter in Λ. Archimedes asserts that it is possible to draw ΚΕ to meet the circle in Ι and ΑΓ produced in Ε so that ΕΙ : ΙΓ = Ζ : Η, an assigned ratio, provided that Ζ : Η > ΓΘ : ΘΚ. The straight line ΓΙ meets ΒΛ in Ν. In Prop. 5 Archimedes has proved a similar proposition when ΑΓ is a tangent, and in Prop. 6 he has proved the proposition for the case where the positions of Ι, Γ are reversed.

[b] For triangle ΓΙΕ is similar to triangle ΚΙΝ, and therefore ΚΙ : ΙΝ = ΕΙ : ΙΓ [Eucl. vi. 4]; and ΚΙ = ΚΓ.

[c] The type of problem known as *νεύσεις*, *vergings*, has already been encountered (vol. i. p. 244 n. *a*). In this proposition, as in Props. 5 and 6, Archimedes gives no hint how

the produced chord so that the distance between the circumference and the produced chord shall bear to the distance between the extremity of the line intercepted [by the circle] and the extremity of the produced chord an assigned ratio, provided that the given ratio is greater than that which half of the given chord in the circle bears to the perpendicular drawn to it from the centre.



Let the same things be given,[a] and let the chord in the circle be produced, and let the given ratio be Z : H, and let it be greater than ΓΘ : ΘK ; therefore it will be greater than KΓ : ΓΛ [Eucl. vi. 4]. Then Z : H is equal to the ratio of KΓ to some line less than ΓΛ [Eucl. v. 10]. Let it be to IN verging upon Γ—for it is possible to make such an intercept—and IN will fall within ΓΛ, since it is less than ΓΛ.

Then since KΓ : IN = Z : H,

therefore[b] EI : IΓ = Z : H.[c]

the construction is to be accomplished, though he was presumably familiar with a solution.

In the figure of the text, let T be the foot of the perpen-

(iv.) *Property of the Subtangent*

Ibid., Prop. 20, Archim. ed. Heiberg ii. 72. 4–74. 26

of eighty of voluntary starvation, having lost his sight; he left a distinguished pupil, Aristophanes of Byzantium; of whom in turn Aristarchus[a] was a pupil. Among his pupils were Mnaseas,[b] Menander and Aristis. He wrote philosophical works, poems and histories, *Astronomy* or *Placings Among the Stars*,[c] *On Philosophical Divisions*, *On Freedom from Pain*, many dialogues and numerous grammatical works.

(*b*) On Means

Pappus, *Collection* vii. 3, ed. Hultsch 636. 18-25

The order of the aforesaid books in the *Treasury of Analysis* is as follows . . . the two books of Eratosthenes *On Means*.[d]

Pappus, *Collection* vii. 21, ed. Hultsch 660. 18–662. 18

Loci in general are termed *fixed*, as when Apollonius at the beginning of his own *Elements* says the locus of a point is a point, the locus of a line is a line, the locus of a surface is a surface and the locus of a solid is a solid; or *progressive*, as when it is said that the locus of a point is a line, the locus of a line is a surface and the locus of a surface is a solid; or *circumambient* as

its extant form; it contains a mythology and description of the constellations under forty-four heads. The general title Ἀστρονομία may be a mistake for Ἀστροθεσία; elsewhere it is alluded to under the title Καταλόγοι.

[d] The inclusion of this work in the *Treasury of Analysis*, along with such works as those of Euclid, Aristaeus and Apollonius, shows that it was a standard treatise. It is not otherwise mentioned, but the *loci with reference to means* referred to in the passage from Pappus next cited were presumably discussed in it.

οἱ δὲ ἀναστροφικοί, ὡς σημείου μὲν ἐπιφάνειαν, γραμμῆς δὲ στερεόν. [. . . οἱ δὲ ὑπὸ Ἐρατοσθένους ἐπιγραφέντες τόποι πρὸς μεσότητας ἐκ τῶν προειρημένων εἰσὶν τῷ γένει, ἀπὸ δὲ τῆς ἰδιότητος τῶν ὑποθέσεων . . . ἐκείνοις.][1]

(c) The "Platonicus"

Theon Smyr., ed. Hiller 81. 17–82. 5

Ἐρατοσθένης δὲ ἐν τῷ Πλατωνικῷ φησι, μὴ ταὐτὸν εἶναι διάστημα καὶ λόγον. ἐπειδὴ λόγος μέν ἐστι δύο μεγεθῶν ἡ πρὸς ἄλληλα ποιὰ σχέσις, γίνεται δ' αὕτη καὶ ἐν διαφόροις ⟨καὶ ἐν ἀδιαφόροις⟩.[2] *οἷον ἐν ᾧ λόγῳ ἐστὶ τὸ αἰσθητὸν πρὸς τὸ νοητόν, ἐν τούτῳ δόξα πρὸς ἐπιστήμην, καὶ διαφέρει καὶ τὸ νοητὸν τοῦ ἐπιστητοῦ ᾧ καὶ ἡ δόξα τοῦ αἰσθητοῦ. διάστημα δὲ ἐν διαφέρουσι μόνον, ἢ κατὰ τὸ μέγεθος ἢ κατὰ ποιότητα ἢ κατὰ θέσιν ἢ ἄλλως ὁπωσοῦν. δῆλον δὲ καὶ ἐντεῦθεν,*

[1] The passage of which this forms the concluding sentence is attributed by Hultsch to an interpolator. To fill the lacuna before *ἐκείνοις* he suggests *ἀνόμοιοι ἐκείνοις*, following Halley's rendering, "diversa sunt ab illis."

[2] *καὶ ἐν ἀδιαφόροις* add. Hiller.

---

[a] Tannery conjectured that these were the loci of points such that their distances from three fixed lines provided a "médiété," *i.e.*, loci (straight lines and conics) which can be represented in trilinear co-ordinates by such equations as

$$2y = x + z,\ y^2 = xz,\ y(x+z) = 2xz,\ x(x-y) = z(y-z),$$
$$x(x-y) = y(y-z)\ ;$$

these represent respectively the arithmetic, geometric and harmonic means, and the means subcontrary to the harmonic and geometric means (*v.* vol. i. pp. 122-125). Zeuthen has when it is said that the locus of a point is a surface and the locus of a line is a solid. [. . . the loci described by Eratosthenes as having reference to means belong to one of the aforesaid classes, but from a peculiarity in the assumptions are unlike them.] [a]

(c) The "Platonicus"

Theon of Smyrna, ed. Hiller 81. 17–82. 5

Eratosthenes in the *Platonicus* [b] says that *interval* and *ratio* are not the same. Inasmuch as a ratio is a sort of relationship of two magnitudes one towards the other,[c] there exists a ratio both between terms that are different and also between terms that are not different. For example, the ratio of the perceptible to the intelligible is the same as the ratio of opinion to knowledge, and the difference between the intelligible and the known is the same as the difference of opinion from the perceptible.[d] But there can be an interval only between terms that are different, according to magnitude or quality or position or in some other way. It is thence clear that ratio is

an alternative conjecture on similar lines (*Die Lehre von den Kegelschnitten im Altertum*, pp. 320-321).

[b] Theon cites this work in one other passage (ed. Hiller 2. 3-12) telling how Plato was consulted about the doubling of the cube; it has already been cited (vol. i. p. 256). Eratosthenes' own solution of the problem has already been given in vol. i. pp. 290-297, and a letter purporting to be from Eratosthenes to Ptolemy Euergetes is given in vol. i. pp. 256-261. Whether the *Platonicus* was a commentary on Plato or a dialogue in which Plato was an interlocutor cannot be decided.

[c] *Cf.* Eucl. v. Def. 3, cited in vol. i. p. 444.

[d] A reference to Plato, *Rep.* vi. 509 D—511 E, vii. 517 A—518 B.

ὅτι λόγος διαστήματος ἕτερον· τὸ γὰρ ἥμισυ πρὸς τὸ διπλάσιον ⟨καὶ τὸ διπλάσιον πρὸς τὸ ἥμισυ⟩[1] λόγον μὲν οὐ τὸν αὐτὸν ἔχει, διάστημα δὲ τὸ αὐτό.

(*d*) Measurement of the Earth

Cleom. *De motu circ.* i. 10. 52, ed. Ziegler 94. 23–100. 23

Καὶ ἡ μὲν τοῦ Ποσειδωνίου ἔφοδος περὶ τοῦ κατὰ τὴν γῆν μεγέθους τοιαύτη, ἡ δὲ τοῦ Ἐρατοσθένους γεωμετρικῆς ἐφόδου ἐχομένη, καὶ δοκοῦσά τι ἀσαφέστερον ἔχειν. ποιήσει δὲ σαφῆ τὰ λεγόμενα ὑπ' αὐτοῦ τάδε προϋποτιθεμένων ἡμῶν. ὑποκείσθω ἡμῖν πρῶτον μὲν κἀνταῦθα, ὑπὸ τῷ αὐτῷ μεσημβρινῷ κεῖσθαι Συήνην καὶ Ἀλεξάνδρειαν, καὶ δεύτερον, τὸ διάστημα τὸ μεταξὺ τῶν πόλεων πεντακισχιλίων σταδίων εἶναι, καὶ τρίτον, τὰς καταπεμπομένας ἀκτῖνας ἀπὸ διαφόρων μερῶν τοῦ ἡλίου ἐπὶ διάφορα τῆς γῆς μέρη παραλλήλους εἶναι· οὕτως γὰρ ἔχειν αὐτὰς οἱ γεωμέτραι ὑποτίθενται. τέταρτον ἐκεῖνο ὑποκείσθω, δεικνύμενον παρὰ τοῖς γεωμέτραις, τὰς εἰς παραλλήλους ἐμπιπτούσας εὐθείας τὰς ἐναλλὰξ γωνίας ἴσας ποιεῖν, πέμπτον, τὰς ἐπὶ ἴσων γωνιῶν βεβηκυίας περιφερείας ὁμοίας εἶναι, τουτέστι τὴν αὐτὴν ἀναλογίαν καὶ τὸν αὐτὸν λόγον ἔχειν πρὸς τοὺς οἰκείους κύκλους, δεικνυμένου καὶ τούτου παρὰ τοῖς γεωμέτραις. ὁπόταν γὰρ περιφέρειαι ἐπὶ ἴσων γωνιῶν ὦσι βεβηκυῖαι, ἂν μία ἡτισοῦν

[1] καὶ . . . ἥμισυ add. Hiller.

[a] The difference between ratio and interval is explained a little more neatly by Theon himself (ed. Hiller 81. 6-9):

different from interval; for the relationship of the half to the double and of the double to the half does not furnish the same ratio, but it does furnish the same interval.[a]

(*d*) Measurement of the Earth

Cleomedes,[b] *On the Circular Motion of the Heavenly Bodies* i. 10. 52, ed. Ziegler 94. 23–100. 23

Such then is Posidonius's method of investigating the size of the earth, but Eratosthenes' method depends on a geometrical argument, and gives the impression of being more obscure. What he says will, however, become clear if the following assumptions are made. Let us suppose, in this case also, first that Syene and Alexandria lie under the same meridian circle; secondly, that the distance between the two cities is 5000 stades; and thirdly, that the rays sent down from different parts of the sun upon different parts of the earth are parallel; for the geometers proceed on this assumption. Fourthly, let us assume that, as is proved by the geometers, straight lines falling on parallel straight lines make the alternate angles equal, and fifthly, that the arcs subtended by equal angles are similar, that is, have the same proportion and the same ratio to their proper circles—this also being proved by the geometers. For whenever arcs of circles are subtended by equal angles, if any one of these is (say) one-tenth

διαφέρει δὲ διάστημα καὶ λόγος, ἐπειδὴ διάστημα μέν ἐστι τὸ μεταξὺ τῶν ὁμογενῶν τε καὶ ἀνίσων ὅρων, λόγος δὲ ἁπλῶς ἡ τῶν ὁμογενῶν ὅρων πρὸς ἀλλήλους σχέσις.

[b] Cleomedes probably wrote about the middle of the first century B.C. His handbook *De motu circulari corporum caelestium* is largely based on Posidonius.

αὐτῶν δέκατον ᾖ μέρος τοῦ οἰκείου κύκλου, καὶ αἱ λοιπαὶ πᾶσαι δέκατα μέρη γενήσονται τῶν οἰκείων κύκλων.

Τούτων ὁ *κατακρατήσας οὐκ ἂν χαλεπῶς τὴν ἔφοδον τοῦ* Ἐρατοσθένους *καταμάθοι ἔχουσαν οὕτως. ὑπὸ τῷ αὐτῷ κεῖσθαι μεσημβρινῷ φησι* Συήνην *καὶ* Ἀλεξάνδρειαν. *ἐπεὶ οὖν μέγιστοι τῶν ἐν τῷ κόσμῳ οἱ μεσημβρινοί, δεῖ καὶ τοὺς ὑποκειμένους τούτοις τῆς γῆς κύκλους μεγίστους εἶναι ἀναγκαίως. ὥστε ἡλίκον ἂν τὸν διὰ* Συήνης *καὶ* Ἀλεξανδρείας *ἥκοντα κύκλον τῆς γῆς ἡ ἔφοδος ἀποδείξει αὕτη, τηλικοῦτος καὶ ὁ μέγιστος ἔσται τῆς γῆς κύκλος. φησὶ τοίνυν, καὶ ἔχει οὕτως, τὴν* Συήνην *ὑπὸ τῷ θερινῷ τροπικῷ κεῖσθαι κύκλῳ. ὁπόταν οὖν ἐν καρκίνῳ γενόμενος ὁ ἥλιος καὶ θερινὰς ποιῶν τροπὰς ἀκριβῶς μεσουρανήσῃ, ἄσκιοι γίνονται οἱ τῶν ὡρολογίων γνώμονες ἀναγκαίως, κατὰ κάθετον ἀκριβῆ τοῦ ἡλίου ὑπερκειμένου· καὶ τοῦτο γίνεσθαι λόγος ἐπὶ σταδίους τριακοσίους τὴν διάμετρον. ἐν* Ἀλεξανδρείᾳ *δὲ τῇ αὐτῇ ὥρᾳ ἀποβάλλουσιν οἱ τῶν ὡρολογίων γνώμονες σκιάν, ἅτε πρὸς ἄρκτῳ μᾶλλον τῆς* Συήνης *ταύτης τῆς πόλεως κειμένης. ὑπὸ τῷ αὐτῷ μεσημβρινῷ τοίνυν καὶ μεγίστῳ κύκλῳ τῶν πόλεων κειμένων, ἂν περιαγάγωμεν περιφέρειαν ἀπὸ τοῦ ἄκρου τῆς τοῦ γνώμονος σκιᾶς ἐπὶ τὴν βάσιν αὐτὴν τοῦ γνώμονος τοῦ ἐν* Ἀλεξανδρείᾳ *ὡρολογίου, αὕτη ἡ περιφέρεια τμῆμα γενήσεται τοῦ μεγίστου τῶν ἐν τῇ σκάφῃ κύκλων, ἐπεὶ μεγίστῳ κύκλῳ ὑπόκειται ἡ τοῦ ὡρολογίου σκάφη. εἰ οὖν ἑξῆς νοήσαιμεν εὐθείας διὰ τῆς γῆς ἐκβαλλομένας ἀφ' ἑκατέρου τῶν γνωμόνων, πρὸς τῷ κέντρῳ τῆς γῆς* of its proper circle, all the remaining arcs will be tenth parts of their proper circles.

Anyone who has mastered these facts will have no difficulty in understanding the method of Eratosthenes, which is as follows. Syene and Alexandria, he asserts, are under the same meridian. Since meridian circles are great circles in the universe, the circles on the earth which lie under them are necessarily great circles also. Therefore, of whatever size this method shows the circle on the earth through Syene and Alexandria to be, this will be the size of the great circle on the earth. He then asserts, as is indeed the case, that Syene lies under the summer tropic. Therefore, whenever the sun, being in the Crab at the summer solstice, is exactly in the middle of the heavens, the pointers of the sundials necessarily throw no shadows, the sun being in the exact vertical line above them ; and this is said to be true over a space 300 stades in diameter. But in Alexandria at the same hour the pointers of the sundials throw shadows, because this city lies farther to the north than Syene. As the two cities lie under the same meridian great circle, if we draw an arc from the extremity of the shadow of the pointer to the base of the pointer of the sundial in Alexandria, the arc will be a segment of a great circle in the bowl of the sundial, since the bowl lies under the great circle. If then we conceive straight lines produced in order from each of the pointers through the earth, they *συμπεσοῦνται. ἐπεὶ οὖν τὸ ἐν Συήνῃ ὡρολόγιον κατὰ κάθετον ὑπόκειται τῷ ἡλίῳ, ἂν ἐπινοήσωμεν εὐθεῖαν ἀπὸ τοῦ ἡλίου ἥκουσαν ἐπ᾽ ἄκρον τὸν τοῦ ὡρολογίου γνώμονα, μία γενήσεται εὐθεῖα ἡ ἀπὸ τοῦ ἡλίου μέχρι τοῦ κέντρου τῆς γῆς ἥκουσα. ἐὰν οὖν ἑτέραν εὐθεῖαν νοήσωμεν ἀπὸ τοῦ ἄκρου τῆς σκιᾶς τοῦ γνώμονος δι᾽ ἄκρου τοῦ γνώμονος ἐπὶ τὸν ἥλιον ἀναγομένην ἀπὸ τῆς ἐν Ἀλεξανδρείᾳ σκάφης, αὕτη καὶ ἡ προειρημένη εὐθεῖα παράλληλοι γενήσονται ἀπὸ διαφόρων γε τοῦ ἡλίου μερῶν ἐπὶ διάφορα μέρη τῆς γῆς διήκουσαι. εἰς ταύτας τοίνυν παραλλήλους οὔσας ἐμπίπτει εὐθεῖα ἡ ἀπὸ τοῦ κέντρου τῆς γῆς ἐπὶ τὸν ἐν Ἀλεξανδρείᾳ γνώμονα ἥκουσα, ὥστε τὰς ἐναλλὰξ γωνίας ἴσας ποιεῖν· ὧν ἡ μέν ἐστι πρὸς τῷ κέντρῳ τῆς γῆς κατὰ σύμπτωσιν τῶν εὐθειῶν, αἳ ἀπὸ τῶν ὡρολογίων ἤχθησαν ἐπὶ τὸ κέντρον τῆς γῆς, γινομένη, ἡ δὲ κατὰ σύμπτωσιν ἄκρου τοῦ ἐν Ἀλεξανδρείᾳ γνώμονος καὶ τῆς ἀπ᾽ ἄκρου τῆς σκιᾶς αὐτοῦ ἐπὶ τὸν ἥλιον διὰ τῆς πρὸς αὐτὸν ψαύσεως ἀναχθείσης γεγενημένη. καὶ ἐπὶ μὲν ταύτης βέβηκε περιφέρεια ἡ ἀπ᾽ ἄκρου τῆς σκιᾶς τοῦ γνώμονος ἐπὶ τὴν βάσιν αὐτοῦ περιαχθεῖσα, ἐπὶ δὲ τῆς πρὸς τῷ κέντρῳ τῆς γῆς ἡ ἀπὸ Συήνης διήκουσα εἰς Ἀλεξάνδρειαν. ὅμοιαι τοίνυν αἱ περιφέρειαί εἰσιν ἀλλήλαις ἐπ᾽ ἴσων γε γωνιῶν βεβηκυῖαι. ὃν ἄρα λόγον ἔχει ἡ ἐν τῇ σκάφῃ πρὸς τὸν οἰκεῖον κύκλον, τοῦτον ἔχει τὸν λόγον καὶ ἡ ἀπὸ Συήνης εἰς Ἀλεξάνδρειαν ἥκουσα. ἡ δέ γε ἐν τῇ σκάφῃ πεντηκοστὸν μέρος εὑρίσκεται τοῦ οἰκείου κύκλου. δεῖ οὖν ἀναγκαίως καὶ τὸ ἀπὸ Συήνης εἰς Ἀλεξάνδρειαν διάστημα πεντηκοστὸν εἶναι μέρος τοῦ* will meet at the centre of the earth. Now since the sundial at Syene is vertically under the sun, if we conceive a straight line drawn from the sun to the top of the pointer of the sundial, the line stretching from the sun to the centre of the earth will be one straight line. If now we conceive another straight line drawn upwards from the extremity of the shadow of the pointer of the sundial in Alexandria, through the top of the pointer to the sun, this straight line and the aforesaid straight line will be parallel, being straight lines drawn through from different parts of the sun to different parts of the earth. Now on these parallel straight lines there falls the straight line drawn from the centre of the earth to the pointer at Alexandria, so that it makes the alternate angles equal ; one of these is formed at the centre of the earth by the intersection of the straight lines drawn from the sundials to the centre of the earth ; the other is at the intersection of the top of the pointer in Alexandria and the straight line drawn from the extremity of its shadow to the sun through the point where it meets the pointer. Now this latter angle subtends the arc carried round from the extremity of the shadow of the pointer to its base, while the angle at the centre of the earth subtends the arc stretching from Syene to Alexandria. But the arcs are similar since they are subtended by equal angles. Whatever ratio, therefore, the arc in the bowl of the sundial has to its proper circle, the arc reaching from Syene to Alexandria has the same ratio. But the arc in the bowl is found to be the fiftieth part of its proper circle. Therefore the distance from Syene to Alexandria must necessarily be a fiftieth part of the great μεγίστου τῆς γῆς κύκλου· καὶ ἔστι τοῦτο σταδίων πεντακισχιλίων. ὁ ἄρα σύμπας κύκλος γίνεται μυριάδων εἴκοσι πέντε. καὶ ἡ μὲν Ἐρατοσθένους ἔφοδος τοιαύτη.

Heron, *Dioptra* 36, ed. H. Schöne 302. 10-17

Δέον δὲ ἔστω, εἰ τύχοι, τὴν μεταξὺ Ἀλεξανδρείας καὶ Ῥώμης ὁδὸν ἐκμετρῆσαι τὴν ἐπ' εὐθείας, τήν γε ἐπὶ κύκλου περιφερείας μεγίστου τοῦ ἐν τῇ γῇ, προσομολογουμένου τοῦ ὅτι περίμετρος τῆς γῆς σταδίων ἐστὶ $\overset{\kappa\epsilon}{\mu}$ καὶ ἔτι ͵$\bar{\beta}$, ὡς ὁ μάλιστα τῶν ἄλλων ἀκριβέστερον πεπραγματευμένος Ἐρατοσθένης δείκνυσιν ἐν ⟨τῷ⟩[1] ἐπιγραφομένῳ Περὶ τῆς ἀναμετρήσεως τῆς γῆς.

[1] τῷ add. H. Schöne.

[a] The attached figure will help to elucidate Cleomedes.



S is Syene and A Alexandria; the centre of the earth is O. The sun's rays at the two places are represented by the broken straight lines. If a be the angle made by the sun's rays with the pointer of the sundial at Alexandria (OA produced), the angle SOA is also equal to a, or one-fiftieth of four right angles. The arc SA is known to be 5000 stades and it follows that the whole circumference of the earth must be 250000 stades.

circle of the earth. And this distance is 5000 stades. Therefore the whole great circle is 250000 stades. Such is the method of Eratosthenes.[a]

Heron, *Dioptra* 36, ed. H. Schöne 302. 10-17

Let it be required, perchance, to measure the distance between Alexandria and Rome along the arc of a great circle,[b] on the assumption that the perimeter of the earth is 252000 stades, as Eratosthenes, who investigated this question more accurately than others, shows in the book which he wrote *On the Measurement of the Earth*.[c]

[b] Lit. " along the circumference of the greatest circle on the earth."

[c] Strabo (ii. 5. 7) and Theon of Smyrna (ed. Hiller 124. 10-12) also give Eratosthenes' measurement as 252000 stades against the 250000 of Cleomedes. " The reason of the discrepancy is not known ; it is possible that Eratosthenes corrected 250000 to 252000 for some reason, perhaps in order to get a figure devisible by 60 and, incidentally, a round number (700) of stades for one degree. If Pliny (*N.H.* xii. 13. 53) is right in saying that Eratosthenes made 40 stades equal to the Egyptian σχοῖνος, then, taking the σχοῖνος at 12000 Royal cubits of 0·525 metres, we get 300 such cubits, or 157·5 metres, *i.e.*, 516·73 feet, as the length of the stade. On this basis 252000 stades works out to 24662 miles, and the diameter of the earth to about 7850 miles, only 50 miles shorter than the true polar diameter, a surprisingly close approximation, however much it owes to happy accidents in the calculation " (Heath, *H.G.M.* ii. 107).

XIX. APOLLONIUS OF PERGA

XIX. APOLLONIUS OF PERGA

(*a*) The Conic Sections

(i.) *Relation to Previous Works*

Eutoc. *Comm. in Con.*, Apoll. Perg. ed. Heiberg ii. 168. 5–170. 26

Ἀπολλώνιος ὁ γεωμέτρης, ὦ φίλε ἑταῖρε Ἀνθέμιε, γέγονε μὲν ἐκ Πέργης τῆς ἐν Παμφυλίᾳ ἐν χρόνοις τοῦ Εὐεργέτου Πτολεμαίου, ὡς ἱστορεῖ Ἡράκλειος ὁ τὸν βίον Ἀρχιμήδους γράφων, ὃς καί φησι τὰ κωνικὰ θεωρήματα ἐπινοῆσαι μὲν πρῶτον τὸν Ἀρχιμήδη, τὸν δὲ Ἀπολλώνιον αὐτὰ εὑρόντα ὑπὸ Ἀρχιμήδους μὴ ἐκδοθέντα ἰδιοποιήσασθαι, οὐκ ἀληθεύων κατά γε τὴν ἐμήν. ὅ τε γὰρ Ἀρχιμήδης ἐν πολλοῖς φαίνεται ὡς παλαιοτέρας τῆς στοιχειώσεως τῶν κωνικῶν μεμνημένος, καὶ ὁ Ἀπολλώνιος οὐχ ὡς ἰδίας ἐπινοίας γράφει· οὐ γὰρ ἂν ἔφη " ἐπὶ πλέον καὶ καθόλου μᾶλλον

[a] Scarcely anything more is known of the life of one of the greatest geometers of all time than is stated in this brief reference. From Pappus, *Coll.* vii., ed. Hultsch 67 (quoted in vol. i. p. 488), it is known that he spent much time at Alexandria with Euclid's successors. Ptolemy Euergetes reigned 246–221 B.C., and as Ptolemaeus Chennus (apud Photii *Bibl.*, cod. cxc., ed. Bekker 151 b 18) mentions an astro-

XIX. APOLLONIUS OF PERGA

(a) The Conic Sections

(i.) *Relation to Previous Works*

Eutocius, *Commentary on Apollonius's Conics*, Apoll. Perg. ed. Heiberg ii. 168. 5–170. 26

Apollonius the geometer, my dear Anthemius, flourished at Perga in Pamphylia during the time of Ptolemy Euergetes,[a] as is related in the life of Archimedes written by Heraclius,[b] who also says that Archimedes first conceived the theorems in conics and that Apollonius, finding they had been discovered by Archimedes but not published, appropriated them for himself, but in my opinion he errs. For in many places Archimedes appears to refer to the elements of conics as an older work, and moreover Apollonius does not claim to be giving his own discoveries; otherwise he would not have described his purpose as "to investigate these properties more fully and more

nomer named Apollonius who flourished in the time of Ptolemy Philopator (221–204 B.C.), the great geometer is probably meant. This fits in with Apollonius's dedication of Books iv.-viii. of his *Conics* to King Attalus I (247–197 B.C.). From the preface to Book i., quoted *infra* (p. 281), we gather that Apollonius visited Eudemus at Pergamum, and to Eudemus he dedicated the first two books of the second edition of his work.

[b] More probably Heraclides, *v. supra*, p. 18 n. *a*.

ἐξειργάσθαι ταῦτα παρὰ τὰ ὑπὸ τῶν ἄλλων γεγραμμένα.'' ἀλλ' ὅπερ φησὶν ὁ Γέμινος ἀληθές ἐστιν, ὅτι οἱ παλαιοὶ κῶνον ὁριζόμενοι τὴν τοῦ ὀρθογωνίου τριγώνου περιφορὰν μενούσης μιᾶς τῶν περὶ τὴν ὀρθὴν εἰκότως καὶ τοὺς κώνους πάντας ὀρθοὺς ὑπελάμβανον γίνεσθαι καὶ μίαν τομὴν ἐν ἑκάστῳ, ἐν μὲν τῷ ὀρθογωνίῳ τὴν νῦν καλουμένην παραβολήν, ἐν δὲ τῷ ἀμβλυγωνίῳ τὴν ὑπερβολήν, ἐν δὲ τῷ ὀξυγωνίῳ τὴν ἔλλειψιν· καὶ ἔστι παρ' αὐτοῖς εὑρεῖν οὕτως ὀνομαζομένας τὰς τομάς. ὥσπερ οὖν τῶν ἀρχαίων ἐπὶ ἑνὸς ἑκάστου εἴδους τριγώνου θεωρησάντων τὰς δύο ὀρθὰς πρότερον ἐν τῷ ἰσοπλεύρῳ καὶ πάλιν ἐν τῷ ἰσοσκελεῖ καὶ ὕστερον ἐν τῷ σκαληνῷ οἱ μεταγενέστεροι καθολικὸν θεώρημα ἀπέδειξαν τοιοῦτο· παντὸς τριγώνου αἱ ἐντὸς τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· οὕτως καὶ ἐπὶ τῶν τοῦ κώνου τομῶν· τὴν μὲν γὰρ λεγομένην ὀρθογωνίου κώνου τομὴν ἐν ὀρθογωνίῳ μόνον κώνῳ ἐθεώρουν τεμνομένῳ ἐπιπέδῳ ὀρθῷ πρὸς μίαν πλευρὰν τοῦ κώνου, τὴν δὲ τοῦ ἀμβλυγωνίου κώνου τομὴν ἐν ἀμβλυγωνίῳ γινομένην κώνῳ ἀπεδείκνυσαν, τὴν δὲ τοῦ ὀξυγωνίου ἐν ὀξυγωνίῳ, ὁμοίως ἐπὶ πάντων τῶν κώνων ἄγοντες τὰ ἐπίπεδα ὀρθὰ πρὸς μίαν πλευρὰν τοῦ κώνου· δηλοῖ δὲ καὶ αὐτὰ τὰ ἀρχαῖα ὀνόματα τῶν γραμμῶν. ὕστερον δὲ Ἀπολλώνιος ὁ Περγαῖος καθόλου τι ἐθεώρησεν, ὅτι ἐν παντὶ κώνῳ καὶ ὀρθῷ καὶ σκαληνῷ πᾶσαι αἱ τομαί εἰσι κατὰ διάφορον τοῦ ἐπιπέδου πρὸς τὸν κῶνον προσβολήν· ὃν καὶ θαυμάσαντες οἱ κατ' αὐτὸν γενόμενοι διὰ τὸ θαυμάσιον τῶν ὑπ' αὐτοῦ δεδειγμένων κωνικῶν θεωρημάτων μέγαν γεωμέτρην ἐκάλουν. ταῦτα generally than is done in the works of others." [a] But what Geminus says is correct: defining a cone as the figure formed by the revolution of a right-angled triangle about one of the sides containing the right angle, the ancients naturally took all cones to be right with one section in each—in the right-angled cone the section now called the parabola, in the obtuse-angled the hyperbola, and in the acute-angled the ellipse; and in this may be found the reason for the names they gave to the sections. Just as the ancients, investigating each species of triangle separately, proved that there were two right angles first in the equilateral triangle, then in the isosceles, and finally in the scalene, whereas the more recent geometers have proved the general theorem, that *in any triangle the three internal angles are equal to two right angles*, so it has been with the sections of the cone; for the ancients investigated the so-called *section of a right-angled cone* in a right-angled cone only, cutting it by a plane perpendicular to one side of the cone, and they demonstrated the *section of an obtuse-angled cone* in an obtuse-angled cone and the *section of an acute-angled cone* in the acute-angled cone, in the cases of all the cones drawing the planes in the same way perpendicularly to one side of the cone; hence, it is clear, the ancient names of the curves. But later Apollonius of Perga proved generally that all the sections can be obtained in any cone, whether right or scalene, according to different relations of the plane to the cone. In admiration for this, and on account of the remarkable nature of the theorems in conics proved by him, his contemporaries called him the "Great

[a] This comes from the preface to Book i., *v. infra*, p. 283.

μὲν οὖν ὁ Γέμινος ἐν τῷ ἕκτῳ φησὶ τῆς Τῶν μαθημάτων θεωρίας.

(ii.) *Scope of the Work*

Apoll. *Conic.* i., Praef., Apoll. Perg. ed. Heiberg i. 2. 2–4. 28

Ἀπολλώνιος Εὐδήμῳ χαίρειν.

Εἰ τῷ τε σώματι εὖ ἐπανάγεις καὶ τὰ ἄλλα κατὰ γνώμην ἐστί σοι, καλῶς ἂν ἔχοι, μετρίως δὲ ἔχομεν καὶ αὐτοί. καθ' ὃν δὲ καιρὸν ἤμην μετά σου ἐν Περγάμῳ, ἐθεώρουν σε σπεύδοντα μετασχεῖν τῶν πεπραγμένων ἡμῖν κωνικῶν· πέπομφα οὖν σοι τὸ πρῶτον βιβλίον διορθωσάμενος, τὰ δὲ λοιπά, ὅταν εὐαρεστήσωμεν, ἐξαποστελοῦμεν· οὐκ ἀμνημονεῖν γὰρ οἴομαί σε παρ' ἐμοῦ ἀκηκοότα, διότι τὴν περὶ ταῦτα ἔφοδον ἐποιησάμην ἀξιωθεὶς ὑπὸ Ναυκράτους τοῦ γεωμέτρου, καθ' ὃν καιρὸν ἐσχόλαζε

---

[a] Menaechmus, as shown in vol. i. pp. 278-283, and more particularly p. 283 n. *a*, solved the problem of the doubling of the cube by means of the intersection of a parabola with a hyperbola, and also by means of the intersection of two parabolas. This is the earliest mention of the conic sections in Greek literature, and therefore Menaechmus (*fl.* 360–350 B.C.) is generally credited with their discovery; and as Eratosthenes' epigram (vol. i. p. 296) speaks of "cutting the cone in the triads of Menaechmus," he is given credit for discovering the ellipse as well. He may have obtained them all by the method suggested by Geminus, but Heath (*H.G.M.* ii. 111-116) gives cogent reasons for thinking that he may have obtained his rectangular hyperbola by a section of a right-angled cone parallel to the axis.

A passage already quoted (vol. i. pp. 486-489) from Pappus (ed. Hultsch 672. 18–678. 24) informs us that treatises on the conic sections were written by Aristaeus and Euclid. Aristaeus' work, in five books, was entitled *Solid Loci*; Euclid's

Geometer." Geminus relates these details in the sixth book of his *Theory of Mathematics*.[a]

(ii.) *Scope of the Work*

Apollonius, *Conics* i., Preface, Apoll. Perg. ed. Heiberg i. 2. 2–4. 28

Apollonius to Eudemus [b] greeting.

If you are in good health and matters are in other respects as you wish, it is well; I am pretty well too. During the time I spent with you at Pergamum, I noticed how eager you were to make acquaintance with my work in conics; I have therefore sent to you the first book, which I have revised, and I will send the remaining books when I am satisfied with them. I suppose you have not forgotten hearing me say that I took up this study at the request of Naucrates the geometer, at the time when he came

Conics was in four books. The work of Aristaeus was obviously more original and more specialized; that of Euclid was admittedly a compilation largely based on Aristaeus. Euclid flourished about 300 B.C. As noted in vol. i. p. 495 n. *a*, the focus-directrix property must have been known to Euclid, and probably to Aristaeus; curiously, it does not appear in Apollonius's treatise.

Many properties of conics are assumed in the works of Archimedes without proof and several have been encountered in this work; they were no doubt taken from the works of Aristaeus or Euclid. As the reader will notice, Archimedes' terminology differs in several respects from that of Apollonius, apart from the fundamental difference on which Geminus laid stress.

The history of the conic sections in antiquity is admirably treated by Zeuthen, *Die Lehre von den Kegelschnitten im Altertum* (1886) and Heath, *Apollonius of Perga*, xvii-clvi.

[b] Not, of course, the pupil of Aristotle who wrote the famous *History of Geometry*, unhappily lost.

παρ' ἡμῖν παραγενηθεὶς εἰς Ἀλεξάνδρειαν, καὶ διότι πραγματεύσαντες αὐτὰ ἐν ὀκτὼ βιβλίοις ἐξ αὐτῆς μεταδεδώκαμεν αὐτὰ εἰς τὸ σπουδαιότερον διὰ τὸ πρὸς ἔκπλῳ αὐτὸν εἶναι οὐ διακαθάραντες, ἀλλὰ πάντα τὰ ὑποπίπτοντα ἡμῖν θέντες ὡς ἔσχατον ἐπελευσόμενοι. ὅθεν καιρὸν νῦν λαβόντες ἀεὶ τὸ τυγχάνον διορθώσεως ἐκδίδομεν. καὶ ἐπεὶ συμβέβηκε καὶ ἄλλους τινὰς τῶν συμμεμιχότων ἡμῖν μετειληφέναι τὸ πρῶτον καὶ τὸ δεύτερον βιβλίον πρὶν ἢ διορθωθῆναι, μὴ θαυμάσῃς, ἐὰν περιπίπτῃς αὐτοῖς ἑτέρως ἔχουσιν.

Ἀπὸ δὲ τῶν ὀκτὼ βιβλίων τὰ πρῶτα τέσσαρα πέπτωκεν εἰς ἀγωγὴν στοιχειώδη, περιέχει δὲ τὸ μὲν πρῶτον τὰς γενέσεις τῶν τριῶν τομῶν καὶ τῶν ἀντικειμένων καὶ τὰ ἐν αὐταῖς ἀρχικὰ συμπτώματα ἐπὶ πλέον καὶ καθόλου μᾶλλον ἐξειργασμένα παρὰ τὰ ὑπὸ τῶν ἄλλων γεγραμμένα, τὸ δὲ δεύτερον τὰ περὶ τὰς διαμέτρους καὶ τοὺς ἄξονας τῶν τομῶν συμβαίνοντα καὶ τὰς ἀσυμπτώτους καὶ ἄλλα γενικὴν καὶ ἀναγκαίαν χρείαν παρεχόμενα πρὸς τοὺς διορισμούς· τίνας δὲ διαμέτρους καὶ τίνας ἄξονας καλῶ, εἰδήσεις ἐκ τούτου τοῦ βιβλίου. τὸ δὲ τρίτον πολλὰ καὶ παράδοξα θεωρήματα χρήσιμα πρός τε τὰς συνθέσεις τῶν στερεῶν τόπων καὶ τοὺς διορισμούς, ὧν τὰ πλεῖστα καὶ κάλλιστα ξένα, ἃ καὶ κατανοήσαντες συνείδομεν μὴ συντιθέμενον ὑπὸ Εὐκλείδου τὸν ἐπὶ τρεῖς καὶ τέσσαρας γραμμὰς τόπον, ἀλλὰ μόριον τὸ τυχὸν αὐτοῦ καὶ τοῦτο οὐκ εὐτυχῶς· οὐ γὰρ ἦν δυνατὸν ἄνευ τῶν προσευρημένων ἡμῖν τελειωθῆναι τὴν

---

[a] A necessary observation, because Archimedes had used the terms in a different sense.

to Alexandria and stayed with me, and that, when I had completed the investigation in eight books, I gave them to him at once, a little too hastily, because he was on the point of sailing, and so I was not able to correct them, but put down everything as it occurred to me, intending to make a revision at the end. Accordingly, as opportunity permits, I now publish on each occasion as much of the work as I have been able to correct. As certain other persons whom I have met have happened to get hold of the first and second books before they were corrected, do not be surprised if you come across them in a different form.

Of the eight books the first four form an elementary introduction. The first includes the methods of producing the three sections and the opposite branches [of the hyperbola] and their fundamental properties, which are investigated more fully and more generally than in the works of others. The second book includes the properties of the diameters and the axes of the sections as well as the asymptotes, with other things generally and necessarily used in determining limits of possibility ; and what I call diameters and axes you will learn from this book.[a] The third book includes many remarkable theorems useful for the syntheses of solid loci and for determining limits of possibility ; most of these theorems, and the most elegant, are new, and it was their discovery which made me realize that Euclid had not worked out the synthesis of the locus with respect to three and four lines, but only a chance portion of it, and that not successfully ; for the synthesis could not be completed without the theorems discovered by me.[b]

[b] For this locus, and Pappus's comments on Apollonius's claims, *v.* vol. i. pp. 486-489.

σύνθεσιν. τὸ δὲ τέταρτον, ποσαχῶς αἱ τῶν κώνων τομαὶ ἀλλήλαις τε καὶ τῇ τοῦ κύκλου περιφερείᾳ συμβάλλουσι, καὶ ἄλλα ἐκ περισσοῦ, ὧν οὐδέτερον ὑπὸ τῶν πρὸ ἡμῶν γέγραπται, κώνου τομὴ ἢ κύκλου περιφέρεια κατὰ πόσα σημεῖα συμβάλλουσι.

Τὰ δὲ λοιπά ἐστι περιουσιαστικώτερα· ἔστι γὰρ τὸ μὲν περὶ ἐλαχίστων καὶ μεγίστων ἐπὶ πλέον, τὸ δὲ περὶ ἴσων καὶ ὁμοίων κώνου τομῶν, τὸ δὲ περὶ διοριστικῶν θεωρημάτων, τὸ δὲ προβλημάτων κωνικῶν διωρισμένων. οὐ μὴν ἀλλὰ καὶ πάντων ἐκδοθέντων ἔξεστι τοῖς περιτυγχάνουσι κρίνειν αὐτά, ὡς ἂν αὐτῶν ἕκαστος αἱρῆται. εὐτύχει.

(iii.) *Definitions*

Ibid., Deff., Apoll. Perg. ed. Heiberg i. 6. 2–8. 20

Ἐὰν ἀπό τινος σημείου πρὸς κύκλου περιφέρειαν, ὃς οὐκ ἔστιν ἐν τῷ αὐτῷ ἐπιπέδῳ τῷ σημείῳ, εὐθεῖα ἐπιζευχθεῖσα ἐφ' ἑκάτερα προσεκβληθῇ, καὶ μένοντος τοῦ σημείου ἡ εὐθεῖα περιενεχθεῖσα περὶ τὴν τοῦ κύκλου περιφέρειαν εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, τὴν γραφεῖσαν ὑπὸ τῆς εὐθείας ἐπιφάνειαν, ἣ σύγκειται ἐκ δύο ἐπιφανειῶν κατὰ κορυφὴν ἀλλήλαις κειμένων, ὧν ἑκατέρα εἰς ἄπειρον αὔξεται τῆς

[a] Only the first four books survive in Greek. Books v.-vii. have survived in Arabic, but Book viii. is wholly lost. Halley (Oxford, 1710) edited the first seven books, and his edition is still the only source for Books vi. and vii. The first four books have since been edited by Heiberg (Leipzig, 1891–1893) and Book v. (up to Prop. 7) by L. Nix (Leipzig, 1889). The

The fourth book investigates how many times the sections of cones can meet one another and the circumference of a circle ; in addition it contains other things, none of which have been discussed by previous writers, namely, in how many points a section of a cone or a circumference of a circle can meet [the opposite branches of hyperbolas].

The remaining books are thrown in by way of addition : one of them discusses fully *minima* and *maxima*, another deals with equal and similar sections of cones, another with theorems about the determinations of limits, and the last with determinate conic problems. When they are all published it will be possible for anyone who reads them to form his own judgement. Farewell.[a]

(iii.) *Definitions*

Ibid., Definitions, Apoll. Perg. ed. Heiberg i. 6. 2–8. 20

If a straight line be drawn from a point to the circumference of a circle, which is not in the same plane with the point, and be produced in either direction, and if, while the point remains stationary, the straight line be made to move round the circumference of the circle until it returns to the point whence it set out, I call the surface described by the straight line *a conical surface* ; it is composed of two surfaces lying vertically opposite to each other, of which each

surviving books have been put into mathematical notation by T. L. Heath, *Apollonius of Perga* (Cambridge, 1896) and translated into French by Paul Ver Eecke, *Les Coniques d' Apollonius de Perga* (Bruges, 1923).

In ancient times Eutocius edited the first four books with a commentary which still survives and is published in Heiberg's edition. Serenus and Hypatia also wrote commentaries, and Pappus a number of lemmas.

γραφούσης εὐθείας εἰς ἄπειρον προσεκβαλλομένης, καλῶ κωνικὴν ἐπιφάνειαν, κορυφὴν δὲ αὐτῆς τὸ μεμενηκὸς σημεῖον, ἄξονα δὲ τὴν διὰ τοῦ σημείου καὶ τοῦ κέντρου τοῦ κύκλου ἀγομένην εὐθεῖαν.

Κῶνον δὲ τὸ περιεχόμενον σχῆμα ὑπό τε τοῦ κύκλου καὶ τῆς μεταξὺ τῆς τε κορυφῆς καὶ τῆς τοῦ κύκλου περιφερείας κωνικῆς ἐπιφανείας, κορυφὴν δὲ τοῦ κώνου τὸ σημεῖον, ὃ καὶ τῆς ἐπιφανείας ἐστὶ κορυφή, ἄξονα δὲ τὴν ἀπὸ τῆς κορυφῆς ἐπὶ τὸ κέντρον τοῦ κύκλου ἀγομένην εὐθεῖαν, βάσιν δὲ τὸν κύκλον.

Τῶν δὲ κώνων ὀρθοὺς μὲν καλῶ τοὺς πρὸς ὀρθὰς ἔχοντας ταῖς βάσεσι τοὺς ἄξονας, σκαληνοὺς δὲ τοὺς μὴ πρὸς ὀρθὰς ἔχοντας ταῖς βάσεσι τοὺς ἄξονας.

Πάσης καμπύλης γραμμῆς, ἥτις ἐστὶν ἐν ἑνὶ ἐπιπέδῳ, διάμετρον μὲν καλῶ εὐθεῖαν, ἥτις ἠγμένη ἀπὸ τῆς καμπύλης γραμμῆς πάσας τὰς ἀγομένας ἐν τῇ γραμμῇ εὐθείας εὐθείᾳ τινὶ παραλλήλους δίχα διαιρεῖ, κορυφὴν δὲ τῆς γραμμῆς τὸ πέρας τῆς εὐθείας τὸ πρὸς τῇ γραμμῇ, τεταγμένως δὲ ἐπὶ τὴν διάμετρον κατῆχθαι ἑκάστην τῶν παραλλήλων.

Ὁμοίως δὲ καὶ δύο καμπύλων γραμμῶν ἐν ἑνὶ ἐπιπέδῳ κειμένων διάμετρον καλῶ πλαγίαν μέν, ἥτις εὐθεῖα τέμνουσα τὰς δύο γραμμὰς πάσας τὰς ἀγομένας ἐν ἑκατέρᾳ τῶν γραμμῶν παρά τινα εὐθεῖαν δίχα τέμνει, κορυφὰς δὲ τῶν γραμμῶν τὰ πρὸς ταῖς γραμμαῖς πέρατα τῆς διαμέτρου, ὀρθίαν δέ, ἥτις κειμένη μεταξὺ τῶν δύο γραμμῶν πάσας τὰς ἀγομένας παραλλήλους εὐθείας εὐθείᾳ τινὶ καὶ ἀπολαμβανομένας μεταξὺ τῶν γραμμῶν δίχα extends to infinity when the straight line which describes them is produced to infinity; I call the fixed point the *vertex*, and the straight line drawn through this point and the centre of the circle I call the *axis*.

The figure bounded by the circle and the conical surface between the vertex and the circumference of the circle I term a *cone*, and by the *vertex of the cone* I mean the point which is the vertex of the surface, and by the *axis* I mean the straight line drawn from the vertex to the centre of the circle, and by the *base* I mean the circle.

Of cones, I term those *right* which have their axes at right angles to their bases, and *scalene* those which have their axes not at right angles to their bases.

In any plane curve I mean by a *diameter* a straight line drawn from the curve which bisects all straight lines drawn in the curve parallel to a given straight line, and by the *vertex of the curve* I mean the extremity of the straight line on the curve, and I describe each of the parallels as being drawn *ordinatewise* to the diameter.

Similarly, in a pair of plane curves I mean by a *transverse diameter* a straight line which cuts the two curves and bisects all the straight lines drawn in either curve parallel to a given straight line, and by the *vertices of the curves* I mean the extremities of the diameter on the curves; and by an *erect diameter* I mean a straight line which lies between the two curves and bisects the portions cut off between the curves of all straight lines drawn parallel to a given τέμνει, τεταγμένως δὲ ἐπὶ τὴν διάμετρον κατῆχθαι ἑκάστην τῶν παραλλήλων.

Συζυγεῖς καλῶ διαμέτρους [δύο][1] καμπύλης γραμμῆς καὶ δύο καμπύλων γραμμῶν εὐθείας, ὧν ἑκατέρα διάμετρος οὖσα τὰς τῇ ἑτέρᾳ παραλλήλους δίχα διαιρεῖ.

Ἄξονα δὲ καλῶ καμπύλης γραμμῆς καὶ δύο καμπύλων γραμμῶν εὐθεῖαν, ἥτις διάμετρος οὖσα τῆς γραμμῆς ἢ τῶν γραμμῶν πρὸς ὀρθὰς τέμνει τὰς παραλλήλους.

Συζυγεῖς καλῶ ἄξονας καμπύλης γραμμῆς καὶ δύο καμπύλων γραμμῶν εὐθείας, αἵτινες διάμετροι οὖσαι συζυγεῖς πρὸς ὀρθὰς τέμνουσι τὰς ἀλλήλων παραλλήλους.

(iv.) *Construction of the Sections*

Ibid., Props. 7-9, Apoll. Perg. ed. Heiberg i. 22. 26–36. 5

ζʹ

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὸ ἐπίπεδον, ἐν ᾧ ἐστιν ἡ βάσις τοῦ κώνου, κατ' εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν ἤτοι τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἢ τῇ ἐπ' εὐθείας αὐτῇ, αἱ ἀγόμεναι εὐθεῖαι ἀπὸ τῆς γενηθείσης τομῆς ἐν τῇ τοῦ κώνου ἐπιφανείᾳ, ἣν ἐποίησε τὸ τέμνον ἐπίπεδον, παράλληλοι τῇ πρὸς ὀρθὰς τῇ βάσει τοῦ τριγώνου εὐθείᾳ ἐπὶ τὴν κοινὴν τομὴν πεσοῦνται τοῦ τέμ-

[1] δύο om. Heiberg.

[a] This proposition defines a conic section in the most general way with reference to any diameter. It is only much

straight line ; and I describe each of the parallels as drawn *ordinate-wise to the diameter.*

By *conjugate diameters* in a curve or pair of curves I mean straight lines of which each, being a diameter, bisects parallels to the other.

By an *axis* of a curve or pair of curves I mean a straight line which, being a diameter of the curve or pair of curves, bisects the parallels at right angles.

By *conjugate axes* in a curve or pair of curves I mean straight lines which, being conjugate diameters, bisect at right angles the parallels to each other.

(iv.) *Construction of the Sections*

Ibid., Props. 7-9, Apoll. Perg. ed. Heiberg i. 22. 26–36. 5

Prop. 7 [a]

If a cone be cut by a plane through the axis, and if it be also cut by another plane cutting the plane containing the base of the cone in a straight line perpendicular to the base of the axial triangle,[b] *or to the base produced, a section will be made on the surface of the cone by the cutting plane, and straight lines drawn in it parallel to the straight line perpendicular to the base of the axial triangle will meet the common section of the cutting plane and the axial*

later in the work (i. 52-58) that the principal axes are introduced as diameters at right angles to their ordinates. The proposition is an excellent example of the generality of Apollonius's methods.

Apollonius followed rigorously the Euclidean form of proof. In consequence his general enunciations are extremely long and often can be made tolerable in an English rendering only by splitting them up ; but, though Apollonius seems to have taken a malicious pleasure in their length, they are formed on a perfect logical pattern without a superfluous word.

[b] Lit. " the triangle through the axis."

νοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου καὶ προσεκβαλλόμεναι ἕως τοῦ ἑτέρου μέρους τῆς τομῆς δίχα τμηθήσονται ὑπ' αὐτῆς, καὶ ἐὰν μὲν ὀρθὸς ᾖ ὁ κῶνος, ἡ ἐν τῇ βάσει εὐθεῖα πρὸς ὀρθὰς ἔσται τῇ κοινῇ τομῇ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἐὰν δὲ σκαληνός, οὐκ αἰεὶ πρὸς ὀρθὰς ἔσται, ἀλλ' ὅταν τὸ διὰ τοῦ ἄξονος ἐπίπεδον πρὸς ὀρθὰς ᾖ τῇ βάσει τοῦ κώνου.

Ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α *σημεῖον, βάσις δὲ ὁ* ΒΓ *κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ*





τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ *τρίγωνον. τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὸ ἐπίπεδον, ἐν ᾧ ἐστιν ὁ* ΒΓ *κύκλος, κατ' εὐθεῖαν τὴν* ΔΕ *ἤτοι πρὸς ὀρθὰς οὖσαν τῇ* ΒΓ *ἢ τῇ ἐπ' εὐθείας αὐτῇ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν* ΔΖΕ· *κοινὴ δὴ τομὴ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ* ΑΒΓ *τριγώνου ἡ* ΖΗ. *καὶ* *triangle and, if produced to the other part of the section, will be bisected by it; if the cone be right, the straight line in the base will be perpendicular to the common section of the cutting plane and the axial triangle; but if it be scalene, it will not in general be perpendicular, but only when the plane through the axis is perpendicular to the base of the cone.*

Let there be a cone whose vertex is the point A and whose base is the circle BΓ, and let it be cut by a





plane through the axis, and let the section so made be the triangle ABΓ. Now let it be cut by another plane cutting the plane containing the circle BΓ in a straight line ΔE which is either perpendicular to BΓ or to BΓ produced, and let the section made on the surface of the cone be ΔZE [a]; then the common section of the cutting plane and of the triangle ABΓ

[a] This applies only to the first two of the figures given in the MSS.

εἰλήφθω τι σημεῖον ἐπὶ τῆς ΔΖΕ τομῆς τὸ Θ, καὶ ἤχθω διὰ τοῦ Θ τῇ ΔΕ παράλληλος ἡ ΘΚ. λέγω, ὅτι ἡ ΘΚ συμβαλεῖ τῇ ΖΗ καὶ ἐκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ΔΖΕ τομῆς δίχα τμηθήσεται ὑπὸ τῆς ΖΗ εὐθείας.

Ἐπεὶ γὰρ κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, τέτμηται ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιεῖ τομὴν τὸ ΑΒΓ τρίγωνον, εἴληπται δέ τι σημεῖον ἐπὶ τῆς ἐπιφανείας, ὃ μή ἐστιν ἐπὶ πλευρᾶς τοῦ ΑΒΓ τριγώνου, τὸ Θ, καί ἐστι κάθετος ἡ ΔΗ ἐπὶ τὴν ΒΓ, ἡ ἄρα διὰ τοῦ Θ τῇ ΔΗ παράλληλος ἀγομένη, τουτέστιν ἡ ΘΚ, συμβαλεῖ τῷ ΑΒΓ τριγώνῳ καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ἐπιφανείας δίχα τμηθήσεται ὑπὸ τοῦ τριγώνου. ἐπεὶ οὖν ἡ διὰ τοῦ Θ τῇ ΔΕ παράλληλος ἀγομένη συμβάλλει τῷ ΑΒΓ τριγώνῳ καί ἐστιν ἐν τῷ διὰ τῆς ΔΖΕ τομῆς ἐπιπέδῳ, ἐπὶ τὴν κοινὴν ἄρα τομὴν πεσεῖται τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ ΑΒΓ τριγώνου. κοινὴ δὲ τομή ἐστι τῶν ἐπιπέδων ἡ ΖΗ· ἡ ἄρα διὰ τοῦ Θ τῇ ΔΕ παράλληλος ἀγομένη πεσεῖται ἐπὶ τὴν ΖΗ· καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ΔΖΕ τομῆς δίχα τμηθήσεται ὑπὸ τῆς ΖΗ εὐθείας.

Ἤτοι δὴ ὁ κῶνος ὀρθός ἐστιν, ἢ τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΒΓ ὀρθόν ἐστι πρὸς τὸν ΒΓ κύκλον, ἢ οὐδέτερον.

Ἔστω πρότερον ὁ κῶνος ὀρθός· εἴη ἂν οὖν καὶ τὸ ΑΒΓ τρίγωνον ὀρθὸν πρὸς τὸν ΒΓ κύκλον. ἐπεὶ οὖν ἐπίπεδον τὸ ΑΒΓ πρὸς ἐπίπεδον τὸ ΒΓ ὀρθόν ἐστι, καὶ τῇ κοινῇ αὐτῶν τομῇ τῇ ΒΓ ἐν ἑνὶ τῶν ἐπιπέδων τῷ ΒΓ πρὸς ὀρθὰς ἦκται ἡ ΔΕ, is ZH. Let any point Θ be taken on ΔZE, and through Θ let ΘK be drawn parallel to ΔE. I say that ΘK intersects ZH and, if produced to the other part of the section ΔZE, it will be bisected by the straight line ZH.

For since the cone, whose vertex is the point A and base the circle BΓ, is cut by a plane through the axis and the section so made is the triangle ABΓ, and there has been taken any point Θ on the surface, not being on a side of the triangle ABΓ, and ΔH is perpendicular to BΓ, therefore the straight line drawn through Θ parallel to ΔH, that is ΘK, will meet the triangle ABΓ and, if produced to the other part of the surface, will be bisected by the triangle [Prop. 6]. Therefore, since the straight line drawn through Θ parallel to ΔE meets the triangle ABΓ and is in the plane containing the section ΔZE, it will fall upon the common section of the cutting plane and the triangle ABΓ. But the common section of those planes is ZH; therefore the straight line drawn through Θ parallel to ΔE will meet ZH; and if it be produced to the other part of the section ΔZE it will be bisected by the straight line ZH.

Now the cone is right, or the axial triangle ABΓ is perpendicular to the circle BΓ, or neither.

First, let the cone be right; then the triangle ABΓ will be perpendicular to the circle BΓ [Def. 3; Eucl. xi. 18]. Then since the plane ABΓ is perpendicular to the plane BΓ, and ΔE is drawn in one of the planes perpendicular to their common section BΓ, therefore ἡ ΔΕ ἄρα τῷ ΑΒΓ τριγώνῳ ἐστὶ πρὸς ὀρθάς· καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ ΑΒΓ τριγώνῳ ὀρθή ἐστιν. ὥστε καὶ πρὸς τὴν ΖΗ ἐστι πρὸς ὀρθάς.

Μὴ ἔστω δὴ ὁ κῶνος ὀρθός. εἰ μὲν οὖν τὸ διὰ τοῦ ἄξονος τρίγωνον ὀρθόν ἐστι πρὸς τὸν ΒΓ κύκλον, ὁμοίως δείξομεν, ὅτι καὶ ἡ ΔΕ τῇ ΖΗ ἐστι πρὸς ὀρθάς. μὴ ἔστω δὴ τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΒΓ ὀρθὸν πρὸς τὸν ΒΓ κύκλον. λέγω, ὅτι οὐδὲ ἡ ΔΕ τῇ ΖΗ ἐστι πρὸς ὀρθάς. εἰ γὰρ δυνατόν, ἔστω· ἔστι δὲ καὶ τῇ ΒΓ πρὸς ὀρθάς· ἡ ἄρα ΔΕ ἑκατέρᾳ τῶν ΒΓ, ΖΗ ἐστι πρὸς ὀρθάς. καὶ τῷ διὰ τῶν ΒΓ, ΖΗ ἐπιπέδῳ ἄρα πρὸς ὀρθάς ἐστι. τὸ δὲ διὰ τῶν ΒΓ, ΗΖ ἐπίπεδόν ἐστι τὸ ΑΒΓ· καὶ ἡ ΔΕ ἄρα τῷ ΑΒΓ τριγώνῳ ἐστὶ πρὸς ὀρθάς. καὶ πάντα ἄρα τὰ δι' αὐτῆς ἐπίπεδα τῷ ΑΒΓ τριγώνῳ ἐστὶ πρὸς ὀρθάς. ἓν δέ τι τῶν διὰ τῆς ΔΕ ἐπιπέδων ἐστὶν ὁ ΒΓ κύκλος· ὁ ΒΓ ἄρα κύκλος πρὸς ὀρθάς ἐστι τῷ ΑΒΓ τριγώνῳ. ὥστε καὶ τὸ ΑΒΓ τρίγωνον ὀρθὸν ἔσται πρὸς τὸν ΒΓ κύκλον· ὅπερ οὐχ ὑπόκειται. οὐκ ἄρα ἡ ΔΕ τῇ ΖΗ ἐστι πρὸς ὀρθάς.

Πόρισμα

Ἐκ δὴ τούτου φανερόν, ὅτι τῆς ΔΖΕ τομῆς διάμετρός ἐστιν ἡ ΖΗ, ἐπείπερ τὰς ἀγομένας παραλλήλους εὐθείᾳ τινὶ τῇ ΔΕ δίχα τέμνει, καὶ ὅτι δυνατόν ἐστιν ὑπὸ τῆς διαμέτρου τῆς ΖΗ παραλλήλους τινὰς δίχα τέμνεσθαι καὶ μὴ πρὸς ὀρθάς.

η'

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος,

ΔE is perpendicular to the triangle ΑΒΓ [Eucl. xi. Def. 4]; and therefore it is perpendicular to all the straight lines in the triangle ΑΒΓ which meet it [Eucl. xi. Def. 3]. Therefore it is perpendicular to ZH.

Now let the cone be not right. Then, if the axial triangle is perpendicular to the circle ΒΓ, we may similarly show that ΔE is perpendicular to ZH. Now let the axial triangle ΑΒΓ be not perpendicular to the circle ΒΓ. I say that neither is ΔE perpendicular to ZH. For if it is possible, let it be; now it is also perpendicular to ΒΓ; therefore ΔE is perpendicular to both ΒΓ, ZH. And therefore it is perpendicular to the plane through ΒΓ, ZH [Eucl. xi. 4]. But the plane through ΒΓ, HZ is ΑΒΓ; and therefore ΔE is perpendicular to the triangle ΑΒΓ. Therefore all the planes through it are perpendicular to the triangle ΑΒΓ [Eucl. xi. 18]. But one of the planes through ΔE is the circle ΒΓ; therefore the circle ΒΓ is perpendicular to the triangle ΑΒΓ. Therefore the triangle ΑΒΓ is perpendicular to the circle ΒΓ; which is contrary to hypothesis. Therefore **ΔE** is not perpendicular to ZH.

Corollary

From this it is clear that ZH is a diameter of the section ΔZE [Def. 4], inasmuch as it bisects the straight lines drawn parallel to the given straight line ΔE, and also that parallels can be bisected by the diameter ZH without being perpendicular to it.

Prop. 8

If a cone be cut by a plane through the axis, and it be τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἡ δὲ διάμετρος τῆς γινομένης ἐν τῇ ἐπιφανείᾳ τομῆς ἤτοι παρὰ μίαν ᾖ τῶν τοῦ τριγώνου πλευρῶν ἢ συμπίπτῃ αὐτῇ ἐκτὸς τῆς κορυφῆς τοῦ κώνου, προσεκβάλληται δὲ ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον εἰς ἄπειρον, καὶ ἡ τομὴ εἰς ἄπειρον αὐξηθήσεται, καὶ ἀπὸ τῆς διαμέτρου τῆς τομῆς πρὸς τῇ κορυφῇ πάσῃ τῇ δοθείσῃ εὐθείᾳ ἴσην ἀπολήψεταί τις εὐθεῖα ἀγομένη ἀπὸ τῆς τοῦ κώνου τομῆς παρὰ τὴν ἐν τῇ βάσει τοῦ κώνου εὐθεῖαν.

Ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ



διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρί-

also cut by another plane cutting the base of the cone in a line perpendicular to the base of the axial triangle, and if the diameter of the section made on the surface be either parallel to one of the sides of the triangle or meet it beyond the vertex of the cone, and if the surface of the cone and the cutting plane be produced to infinity, the section will also increase to infinity, and a straight line can be drawn from the section of the cone parallel to the straight line in the base of the cone so as to cut off from the diameter of the section towards the vertex an intercept equal to any given straight line.

Let there be a cone whose vertex is the point A and base the circle BΓ, and let it be cut by a plane through the axis, and let the section so made be the triangle γωνον· τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὸν ΒΓ κύκλον κατ' εὐθεῖαν τὴν ΔΕ πρὸς ὀρθὰς οὖσαν τῇ ΒΓ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν ΔΖΕ γραμμήν· ἡ δὲ διάμετρος τῆς ΔΖΕ τομῆς ἡ ΖΗ ἤτοι παράλληλος ἔστω τῇ ΑΓ ἢ ἐκβαλλομένη συμπιπτέτω αὐτῇ ἐκτὸς τοῦ Α σημείου. λέγω, ὅτι καί, ἐὰν ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον ἐκβάλληται εἰς ἄπειρον, καὶ ἡ ΔΖΕ τομὴ εἰς ἄπειρον αὐξηθήσεται.

Ἐκβεβλήσθω γὰρ ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον· φανερὸν δή, ὅτι καὶ αἱ ΑΒ, ΑΓ, ΖΗ συνεκβληθήσονται. ἐπεὶ ἡ ΖΗ τῇ ΑΓ ἤτοι παράλληλός ἐστιν ἢ ἐκβαλλομένη συμπίπτει αὐτῇ ἐκτὸς τοῦ Α σημείου, αἱ ΖΗ, ΑΓ ἄρα ἐκβαλλόμεναι ὡς ἐπὶ τὰ Γ, Η μέρη οὐδέποτε συμπεσοῦνται. ἐκβεβλήσθωσαν οὖν, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς ΖΗ τυχὸν τὸ Θ, καὶ διὰ τοῦ Θ σημείου τῇ μὲν ΒΓ παράλληλος ἤχθω ἡ ΚΘΛ, τῇ δὲ ΔΕ παράλληλος ἡ ΜΘΝ· τὸ ἄρα διὰ τῶν ΚΛ, ΜΝ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΒΓ, ΔΕ. κύκλος ἄρα ἐστὶ τὸ ΚΛΜΝ ἐπίπεδον. καὶ ἐπεὶ τὰ Δ, Ε, Μ, Ν σημεῖα ἐν τῷ τέμνοντί ἐστιν ἐπιπέδῳ, ἔστι δὲ καὶ ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου, ἐπὶ τῆς κοινῆς ἄρα τομῆς ἐστιν· ηὔξηται ἄρα ἡ ΔΖΕ μέχρι τῶν Μ, Ν σημείων. αὐξηθείσης ἄρα τῆς ἐπιφανείας τοῦ κώνου καὶ τοῦ τέμνοντος ἐπιπέδου μέχρι τοῦ ΚΛΜΝ κύκλου ηὔξηται καὶ ἡ ΔΖΕ τομὴ μέχρι τῶν Μ, Ν σημείων. ὁμοίως δὴ δείξομεν, ὅτι καί, ἐὰν εἰς ἄπειρον ἐκβάλληται ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον, καὶ ἡ ΜΔΖΕΝ τομὴ εἰς ἄπειρον αὐξηθήσεται.

Καὶ φανερόν, ὅτι πάσῃ τῇ δοθείσῃ εὐθείᾳ ἴσην

ΑΒΓ ; now let it be cut by another plane cutting the circle ΒΓ in the straight line ΔΕ perpendicular to ΒΓ, and let the section made on the surface be the curve ΔΖΕ ; let ΖΗ, the diameter of the section ΔΖΕ, be either parallel to ΑΓ or let it, when produced, meet ΑΓ beyond the point Α. I say that if the surface of the cone and the cutting plane be produced to infinity, the section ΔΖΕ will also increase to infinity.

For let the surface of the cone and the cutting plane be produced ; it is clear that the straight lines, ΑΒ, ΑΓ, ΖΗ are simultaneously produced. Since ΖΗ is either parallel to ΑΓ or meets it, when produced, beyond the point Α, therefore ΖΗ, ΑΓ when produced in the directions Η, Γ, will never meet. Let them be produced accordingly, and let there be taken any point Θ at random upon ΖΗ, and through the point Θ let ΚΘΛ be drawn parallel to ΒΓ, and let ΜΘΝ be drawn parallel to ΔΕ ; the plane through ΚΛ, ΜΝ is therefore parallel to the plane through ΒΓ, ΔΕ [Eucl. xi. 15]. Therefore the plane ΚΛΜΝ is a circle [Prop. 4]. And since the points Δ, Ε, Μ, Ν are in the cutting plane, and are also on the surface of the cone, they are therefore upon the common section ; therefore ΔΖΕ has increased to Μ, Ν. Therefore, when the surface of the cone and the cutting plane increase up to the circle ΚΛΜΝ, the section ΔΖΕ increases up to the points Μ, Ν. Similarly we may prove that, if the surface of the cone and the cutting plane be produced to infinity, the section ΜΔΖΕΝ will increase to infinity.

Εἰλήφθω γὰρ τὸ κέντρον τῆς σφαίρας καὶ ἔστω τὸ Η, καὶ ἤχθωσαν ἀπὸ τοῦ Η ἐπὶ τὰς Β, Ζ, Ε τομὰς τῶν κύκλων ἥ τε ΗΒ καὶ ἡ ΗΖ καὶ ἡ ΗΕ, καὶ ἐπιζευχθεῖσα ἡ ΑΔ ἐκβεβλήσθω καὶ συμπιπτέτω τῇ ΗΒ ἐκβληθείσῃ καὶ αὐτῇ κατὰ τὸ Θ σημεῖον, ὁμοίως δὲ ἐπιζευχθεῖσαι αἱ ΔΓ καὶ ΑΓ τεμνέτωσαν τὰς ΗΖ καὶ ΗΕ κατὰ τὸ Κ καὶ Λ whole of the right-angled triangle BΔZ. But since the ratio ΓE : EB is given and also the chord ΓB, therefore EB will also be given and, further, the whole [straight line] EBZ; therefore, since ΔZ is given, the angle EΔZ in the same right-angled triangle will be given, and the remainder EΔB. Therefore the arc AB will be given.

(ii.) *The Theorem*

Ibid. 74. 9–76. 9

These things having first been grasped, let there be described on the surface of a sphere arcs of great circles such that the two arcs BE and ΓΔ will meet the two arcs AB and AΓ and will cut one another at the point Z; let each of them be less than a semicircle; and let this hold for all the diagrams.

Now I say that the ratio of the chord subtended by double of the arc ΓE to the chord subtended by double of the arc EA is compounded of (*a*) the ratio of the chord subtended by double of the arc ΓZ to the chord subtended by double of the arc ZΔ, and (*b*) the ratio of the chord subtended by double of the arc ΔB to the chord subtended by double of the arc BA,

$$\left[i.e., \frac{\sin \Gamma E}{\sin EA} = \frac{\sin \Gamma Z}{\sin Z\Delta} \cdot \frac{\sin \Delta B}{\sin BA}\right].$$

For let the centre of the sphere be taken, and let it be H, and from H let HB and HZ and HE be drawn to B, Z, E, the points of intersection of the circles, and let AΔ be joined and produced, and let it meet HB produced at the point Θ, and similarly let ΔΓ and AΓ be joined and cut HZ and HE at K and the point *σημεῖον· ἐπὶ μιᾶς δὴ γίνεται εὐθείας τὰ* Θ, Κ, Λ *σημεῖα διὰ τὸ ἐν δυσὶν ἅμα εἶναι ἐπιπέδοις τῷ τε τοῦ* ΑΓΔ *τριγώνου καὶ τῷ τοῦ* ΒΖΕ *κύκλου, ἥτις*



ἐπιζευχθεῖσα ποιεῖ εἰς δύο εὐθείας τὰς ΘΑ *καὶ* ΓΑ *διηγμένας τὰς* ΘΛ *καὶ* ΓΔ *τεμνούσας ἀλλήλας κατὰ τὸ* Κ *σημεῖον· ὁ ἄρα τῆς* ΓΛ *πρὸς* ΛΑ *λόγος συνῆπται ἔκ τε τοῦ τῆς* ΓΚ *πρὸς* ΚΔ *καὶ τοῦ τῆς* ΔΘ *πρὸς* ΘΑ. *ἀλλ᾿ ὡς μὲν ἡ* ΓΛ *πρὸς* ΛΑ, *οὕτως ἡ ὑπὸ τὴν διπλῆν τῆς* ΓΕ *πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς* ΕΑ *περιφερείας, ὡς δὲ ἡ* ΓΚ *πρὸς* ΚΔ, *οὕτως ἡ ὑπὸ τὴν διπλῆν τῆς* ΓΖ *περιφερείας πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς* ΖΔ, *ὡς δὲ ἡ* ΘΔ

Λ; then the points Θ, K, Λ will lie on one straight line because they lie simultaneously in two planes, that of the triangle $\mathrm{A\Gamma\Delta}$ and that of the circle BZE, and therefore we have straight lines $\Theta\Lambda$ and $\Gamma\Delta$ meeting the two straight lines ΘA and ΓA and cutting one another at the point K; therefore

$$\Gamma\Lambda : \Lambda\mathrm{A} = (\Gamma\mathrm{K} : \mathrm{K}\Delta)(\Delta\Theta : \Theta\mathrm{A}). \qquad \text{[by (2)}$$

But $\Gamma\Lambda : \Lambda\mathrm{A}$ = the chord subtended by double of the arc ΓE : the chord subtended by double of the arc EA

[*i.e.*, $\sin \Gamma\mathrm{E} : \sin \mathrm{EA}$],

while $\Gamma\mathrm{K} : \mathrm{K}\Delta$ = the chord subtended by double of the arc ΓZ : the chord subtended by double of the arc ZΔ [by (3)

[*i.e.*, $\sin \Gamma\mathrm{Z} : \sin \mathrm{Z}\Delta$], πρὸς ΘΑ, οὕτως ἡ ὑπὸ τὴν διπλῆν τῆς ΔΒ περιφερείας πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΒΑ· καὶ ὁ λόγος ἄρα ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΓΕ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΕΑ συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΓΖ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΖΔ καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΔΒ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΒΑ.

Κατὰ τὰ αὐτὰ δὴ καὶ ὥσπερ ἐπὶ τῆς ἐπιπέδου καταγραφῆς τῶν εὐθειῶν δείκνυται, ὅτι καὶ ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΓΑ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΕΑ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΓΔ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΔΖ καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΖΒ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΒΕ· ἅπερ προέκειτο δεῖξαι.

---

[a] From the Arabic version, it is known that " Menelaus's Theorem " was the first proposition in Book iii. of his *Sphaerica*, and several interesting deductions follow.

and $\Theta\Delta : \Theta A =$ the chord subtended by double of the arc ΔB :

the chord subtended by double of the arc BA [by (4)

[*i.e.*, $\sin \Delta B : \sin BA$],

and therefore the ratio of the chord subtended by double of the arc ΓE to the chord subtended by double of the arc EA is compounded of (*a*) the ratio of the chord subtended by double of the arc ΓZ to the chord subtended by double of the arc ZΔ, and (*b*) the ratio of the chord subtended by double of the arc ΔB to the chord subtended by double of the arc BA,

$$\left[i.e., \frac{\sin \Gamma E}{\sin EA} = \frac{\sin \Gamma Z}{\sin Z\Delta} \cdot \frac{\sin \Delta B}{\sin BA} \right].$$

Now with the same premises, and as in the case of the straight lines in the plane diagram [by (1)], it is shown that the ratio of the chord subtended by double of the arc ΓA to the chord subtended by double of the arc EA is compounded of (*a*) the ratio of the chord subtended by double of the arc ΓΔ to the chord subtended by double of the arc ΔZ, and (*b*) the ratio of the chord subtended by double of the arc ZB to the chord subtended by double of the chord BE,

$$\left[i.e., \frac{\sin \Gamma A}{\sin EA} = \frac{\sin \Gamma\Delta}{\sin \Delta Z} \cdot \frac{\sin ZB}{\sin BE} \right];$$

which was set to be proved.[a]

XXII. MENSURATION: HERON OF ALEXANDRIA

XXII. MENSURATION : HERON OF ALEXANDRIA

(a) Definitions

Heron, *Deff.*, ed. Heiberg (Heron iv.) 14. 1-24

Καὶ τὰ μὲν πρὸ τῆς γεωμετρικῆς στοιχειώσεως τεχνολογούμενα ὑπογράφων σοι καὶ ὑποτυπούμενος, ὡς ἔχει μάλιστα συντόμως, Διονύσιε λαμπρότατε, τήν τε ἀρχὴν καὶ τὴν ὅλην σύνταξιν ποιήσομαι κατὰ τὴν τοῦ Εὐκλείδου τοῦ Στοιχειωτοῦ τῆς ἐν γεωμετρίᾳ θεωρίας διδασκαλίαν· οἶμαι γὰρ οὕτως οὐ μόνον τὰς ἐκείνου πραγματείας

---

[a] The problem of Heron's date is one of the most disputed questions in the history of Greek mathematics. The only details certainly known are that he lived after Apollonius, whom he quotes, and before Pappus, who cites him, say between 150 B.C. and A.D. 250. Many scraps of evidence have been thrown into the dispute, including the passage here first cited; for it is argued that the title λαμπρότατος corresponds to the Latin *clarissimus*, which was not in common use in the third century A.D. Both Heiberg (Heron, vol. v. p. ix) and Heath (*H.G.M.* ii. 306) place him, however, in the third century A.D., only a little earlier than Pappus.

The chief works of Heron are now definitively published in five volumes of the Teubner series. Perhaps the best known are his *Pneumatica* and the *Automata*, in which he shows how to use the force of compressed air, water or steam; they are of great interest in the history of physics, and have led some to describe Heron as "the father of the turbine," but

XXII. MENSURATION : HERON OF ALEXANDRIA [a]

(a) Definitions

Heron, *Definitions*, ed. Heiberg (Heron iv.) 14. 1-24

In setting out for you as briefly as possible, O most excellent Dionysius, a sketch of the technical terms premised in the elements of geometry, I shall take as my starting point, and shall base my whole arrangement upon, the teaching of Euclid, the writer of the elements of theoretical geometry ; for in this way I think I shall give you a good general understanding,

as they have no mathematical interest they cannot be noticed here. Heron also wrote a *Belopoeïca* on the construction of engines of war, and a *Mechanics*, which has survived in Arabic and in a few fragments of the Greek.

In geometry, Heron's elaborate collection of *Definitions* has survived, but his *Commentary on Euclid's Elements* is known only from extracts preserved by Proclus and an-Nairīzī, the Arabic commentator. In mensuration there are extant the *Metrica*, *Geometrica*, *Stereometrica*, *Geodaesia*, *Mensurae* and *Liber Geëponicus*. The *Metrica*, discovered in a Constantinople ms. in 1896 by R. Schöne and edited by his son H. Schöne, seems to have preserved its original form more closely than the others, and will be relied on here in preference to them. Heron's *Dioptra*, describing an instrument of the nature of a theodolite and its application to surveying, is also extant and will be cited here.

For a full list of Heron's many works, *v.* Heath, *H.G.M.* ii. 308-310.

εὐσυνόπτους ἔσεσθαί σοι, ἀλλὰ καὶ πλείστας ἄλλας τῶν εἰς γεωμετρίαν ἀνηκόντων. ἄρξομαι τοίνυν ἀπὸ σημείου.

α΄. Σημεῖόν ἐστιν, οὗ μέρος οὐθὲν ἢ πέρας ἀδιάστατον ἢ πέρας γραμμῆς, πέφυκε δὲ διανοίᾳ μόνῃ ληπτὸν εἶναι ὡσανεὶ ἀμερές τε καὶ ἀμέγεθες τυγχάνον. τοιοῦτον οὖν αὐτό φασιν εἶναι οἷον ἐν χρόνῳ τὸ ἐνεστὸς καὶ οἷον μονάδα θέσιν ἔχουσαν. ἔστι[1] *μὲν οὖν τῇ οὐσίᾳ ταὐτὸν τῇ μονάδι· ἀδιαίρετα γὰρ ἄμφω καὶ ἀσώματα καὶ ἀμέριστα· τῇ δὲ ἐπιφανείᾳ καὶ τῇ σχέσει διαφέρει· ἡ μὲν γὰρ μονὰς ἀρχὴ ἀριθμοῦ, τὸ δὲ σημεῖον τῆς γεωμετρουμένης οὐσίας ἀρχή, ἀρχὴ δὲ κατὰ ἔκθεσιν, οὐχ ὡς μέρος ὂν τῆς γραμμῆς, ὡς τοῦ ἀριθμοῦ μέρος ἡ μονάς, προεπινοούμενον δὲ αὐτῆς· κινηθέντος γὰρ ἢ μᾶλλον νοηθέντος ἐν ῥύσει νοεῖται γραμμή, καὶ οὕτω σημεῖον ἀρχή ἐστι γραμμῆς, ἐπιφάνεια δὲ στερεοῦ σώματος.*

Ibid. 60. 22–62. 9

ϛζ΄. Σπεῖρα γίνεται, ὅταν κύκλος ἐπὶ κύκλου τὸ κέντρον ἔχων ὀρθὸς ὢν πρὸς τὸ τοῦ κύκλου ἐπίπεδον περιενεχθεὶς εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ· τὸ δὲ αὐτὸ τοῦτο καὶ κρίκος καλεῖται. διεχὴς μὲν οὖν ἐστι σπεῖρα ἡ ἔχουσα διάλειμμα, συνεχὴς δὲ ἡ καθ' ἓν σημεῖον συμπίπτουσα, ἐπαλλάττουσα δέ, καθ' ἣν ὁ περιφερόμενος κύκλος

[1] *ἔστι* Friedlein, *ὅτι* codd..

[a] The first definition is that of Euclid i. Def. 1, the third in effect that of Plato, who defined a point as *ἀρχὴ γραμμῆς* (Aristot. *Metaph.* 992 a 20); the second is reminiscent of Nicomachus, *Arith. Introd.* ii. 7. 1, *v.* vol. i. pp. 86-89.

not only of Euclid's works, but of many others pertaining to geometry. I shall begin, then, with the point.

1. A *point* is that which has no parts, or an extremity without extension, or the extremity of a line,[a] and, being both without parts and without magnitude, it can be grasped by the understanding only. It is said to have the same character as the moment in time or the unit having position.[b] It is the same as the unit in its fundamental nature, for they are both indivisible and incorporeal and without parts, but in relation to surface and position they differ; for the unit is the beginning of number, while the point is the beginning of geometrical being—but a beginning by way of setting out only, not as a part of a line, in the way that the unit is a part of number—and is prior to geometrical being in conception; for when a point moves, or rather is conceived in motion, a line is conceived, and in this way a point is the beginning of a line and a surface is the beginning of a solid body.

Ibid. 60. 22–62. 9

97. A *spire* is generated when a circle revolves and returns to its original position in such a manner that its centre traces a circle, the original circle remaining at right angles to the plane of this circle; this same curve is also called a *ring*. A spire is *open* when there is a gap, *continuous* when it touches at one point, and *self-crossing* when the revolving circle cuts itself.

[b] The Pythagorean definition of a point: *v.* Proclus, *in Eucl.* i., ed. Friedlein 95. 22. Proclus's whole comment is worth reading, and among modern writers there is a full discussion in Heath, *The Thirteen Books of Euclid's Elements*, vol. i. pp. 155-158.

αὐτὸς αὑτὸν τέμνει. γίνονται δὲ καὶ τούτων τομαὶ γραμμαί τινες ἰδιάζουσαι. οἱ δὲ τετράγωνοι κρίκοι ἐκπρίσματά εἰσι κυλίνδρων· γίνονται δὲ καὶ ἄλλα τινὰ ποικίλα πρίσματα ἔκ τε σφαιρῶν καὶ ἐκ μικτῶν ἐπιφανειῶν.

(*b*) Measurement of Areas and Volumes

(i.) *Area of a Triangle Given the Sides*

Heron, *Metr.* i. 8, ed. H. Schöne (Heron iii.) 18. 12–24. 21

Ἔστι δὲ καθολικὴ μέθοδος ὥστε τριῶν πλευρῶν δοθεισῶν οἱουδηποτοῦν τριγώνου τὸ ἐμβαδὸν εὑρεῖν χωρὶς καθέτου· οἷον ἔστωσαν αἱ τοῦ τριγώνου πλευραὶ μονάδων $\bar{\zeta}$, $\bar{\eta}$, $\bar{\theta}$. σύνθες τὰ $\bar{\zeta}$ καὶ τὰ $\bar{\eta}$ καὶ τὰ $\bar{\theta}$· γίγνεται $\overline{\kappa\delta}$. τούτων λαβὲ τὸ ἥμισυ· γίγνεται $\overline{\iota\beta}$. ἄφελε τὰς $\bar{\zeta}$ μονάδας· λοιπαὶ $\bar{\epsilon}$. πάλιν ἄφελε ἀπὸ τῶν $\overline{\iota\beta}$ τὰς $\bar{\eta}$· λοιπαὶ $\bar{\delta}$. καὶ ἔτι τὰς $\bar{\theta}$· λοιπαὶ $\bar{\gamma}$. ποίησον τὰ $\overline{\iota\beta}$ ἐπὶ τὰ $\bar{\epsilon}$· γίγνονται $\bar{\xi}$. ταῦτα ἐπὶ τὸν $\bar{\delta}$· γίγνονται $\overline{\sigma\mu}$· ταῦτα ἐπὶ τὸν $\bar{\gamma}$· γίγνεται $\overline{\psi\kappa}$· τούτων λαβὲ πλευρὰν καὶ ἔσται τὸ ἐμβαδὸν τοῦ τριγώνου. ἐπεὶ οὖν αἱ $\overline{\psi\kappa}$ ῥητὴν τὴν πλευρὰν οὐκ ἔχουσι, ληψόμεθα μετὰ διαφόρου ἐλαχίστου τὴν πλευρὰν οὕτως· ἐπεὶ ὁ συνεγγίζων τῷ $\overline{\psi\kappa}$ τετράγωνός ἐστιν ὁ $\overline{\psi\kappa\theta}$ καὶ πλευρὰν ἔχει τὸν $\overline{\kappa\zeta}$, μέρισον τὰς $\overline{\psi\kappa}$ εἰς τὸν $\overline{\kappa\zeta}$· γίγνεται $\overline{\kappa\varsigma}$ καὶ τρίτα δύο· πρόσθες τὰς $\overline{\kappa\zeta}$· γίγνεται $\overline{\nu\gamma}$ τρίτα δύο. τούτων τὸ ἥμισυ· γίγνεται $\overline{\kappa\varsigma}$ $\angle\gamma'$. ἔσται ἄρα τοῦ $\overline{\psi\kappa}$ ἡ πλευρὰ ἔγγιστα τὰ $\overline{\kappa\varsigma}$ $\angle\gamma'$. τὰ γὰρ $\overline{\kappa\varsigma}$ $\angle\gamma'$ ἐφ᾿ ἑαυτὰ γίγνεται $\overline{\psi\kappa}$ $\lambda\varsigma'$· ὥστε τὸ διάφορον μονάδος ἐστὶ μόριον $\lambda\varsigma'$. ἐὰν δὲ βουλώμεθα

Certain special curves are generated by sections of these spires. But the *square rings* are prismatic sections of cylinders; various other kinds of prismatic sections are formed from spheres and *mixed* surfaces.[a]

(b) Measurement of Areas and Volumes

(i.) *Area of a Triangle Given the Sides*

Heron, *Metrica* i. 8, ed. H. Schöne (Heron iii.) 18. 12–24. 21

There is a general method for finding, without drawing a perpendicular, the area of any triangle whose three sides are given. For example, let the sides of the triangle be 7, 8 and 9. Add together 7, 8 and 9; the result is 24. Take half of this, which gives 12. Take away 7; the remainder is 5. Again, from 12 take away 8; the remainder is 4. And again 9; the remainder is 3. Multiply 12 by 5; the result is 60. Multiply this by 4; the result is 240. Multiply this by 3; the result is 720. Take the square root of this and it will be the area of the triangle. Since 720 has not a rational square root, we shall make a close approximation to the root in this manner. Since the square nearest to 720 is 729, having a root 27, divide 27 into 720; the result is $26\frac{2}{3}$; add 27; the result is $53\frac{2}{3}$. Take half of this; the result is $26\frac{1}{2}+\frac{1}{3}(=26\frac{5}{6})$. Therefore the square root of 720 will be very nearly $26\frac{5}{6}$. For $26\frac{5}{6}$ multiplied by itself gives $720\frac{1}{36}$; so that the difference is $\frac{1}{36}$. If we wish to make the difference less than $\frac{1}{36}$,

[a] The passage should be read in conjunction with those from Proclus cited *supra*, pp. 360-365; note the slight difference in terminology—*self-crossing* for *interlaced*.

ἐν ἐλάσσονι μορίῳ τοῦ λϛʹ τὴν διαφορὰν γίγνεσθαι, ἀντὶ τοῦ ψκθ τάξομεν τὰ νῦν εὑρεθέντα ψκ καὶ λϛʹ, καὶ ταὐτὰ ποιήσαντες εὑρήσομεν πολλῷ ἐλάττονα ⟨τοῦ⟩[1] λϛʹ τὴν διαφορὰν γιγνομένην.

Ἡ δὲ γεωμετρικὴ τούτου ἀπόδειξίς ἐστιν ἥδε· τριγώνου δοθεισῶν τῶν πλευρῶν εὑρεῖν τὸ ἐμβαδόν. δυνατὸν μὲν οὖν ἐστιν ἀγαγόντα[s][2] μίαν κάθετον καὶ πορισάμενον αὐτῆς τὸ μέγεθος εὑρεῖν τοῦ τριγώνου τὸ ἐμβαδόν, δέον δὲ ἔστω χωρὶς τῆς καθέτου τὸ ἐμβαδὸν πορίσασθαι.

Ἔστω τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ *καὶ ἔστω ἑκάστη τῶν* ΑΒ, ΒΓ, ΓΑ *δοθεῖσα· εὑρεῖν τὸ ἐμβα-*

[1] *τοῦ* add. Heiberg.
[2] *ἀγαγόντα*[s] corr. H. Schöne.

---

[a] If a non-square number A is equal to $a^2 \pm b$, Heron's method gives as a first approximation to $\sqrt{A}$,

$$a_1 = \tfrac{1}{2}\left(a + \frac{A}{a}\right),$$

and as a second approximation,

$$a_2 = \tfrac{1}{2}\left(a_1 + \frac{A}{a_1}\right).$$

An equivalent formula is used by Rhabdas (*v.* vol. i. p. 30 n. *b*) and by a fourteenth century Calabrian monk Barlaam, who wrote in Greek and who indicated that the process could be continued indefinitely. Several modern writers have used the formula to account for Archimedes' approximations to $\sqrt{3}$ (*v.* vol. i. p. 322 n. *a*).

[b] Heron had previously shown how to do this.

instead of 729 we shall take the number now found, $720\frac{1}{36}$, and by the same method we shall find an approximation differing by much less than $\frac{1}{36}$.[a]

The geometrical proof of this is as follows : *In a triangle whose sides are given to find the area.* Now it is possible to find the area of the triangle by drawing one perpendicular and calculating its magnitude,[b] but let it be required to calculate the area without the perpendicular.

Let ΑΒΓ be the given triangle, and let each of



ΑΒ, ΒΓ, ΓΑ be given ; to find the area. Let the δόν. ἐγγεγράφθω εἰς τὸ τρίγωνον κύκλος ὁ ΔΕΖ, οὗ κέντρον ἔστω τὸ Η, καὶ ἐπεζεύχθωσαν αἱ ΑΗ, ΒΗ, ΓΗ, ΔΗ, ΕΗ, ΖΗ. τὸ μὲν ἄρα ὑπὸ ΒΓ, ΕΗ διπλάσιόν ἐστι τοῦ ΒΗΓ τριγώνου, τὸ δὲ ὑπὸ ΓΑ, ΖΗ τοῦ ΑΓΗ τριγώνου, ⟨τὸ δὲ ὑπὸ ΑΒ, ΔΗ τοῦ ΑΒΗ τριγώνου⟩[1]· τὸ ἄρα ὑπὸ τῆς περιμέτρου τοῦ ΑΒΓ τριγώνου καὶ τῆς ΕΗ, τουτέστι τῆς ἐκ τοῦ κέντρου τοῦ ΔΕΖ κύκλου, διπλάσιόν ἐστι τοῦ ΑΒΓ τριγώνου. ἐκβεβλήσθω ἡ ΓΒ, καὶ τῇ ΑΔ ἴση κείσθω ἡ ΒΘ· ἡ ἄρα ΓΒΘ ἡμίσειά ἐστι τῆς περιμέτρου τοῦ ΑΒΓ τριγώνου διὰ τὸ ἴσην εἶναι τὴν μὲν ΑΔ τῇ ΑΖ, τὴν δὲ ΔΒ τῇ ΒΕ, τὴν δὲ ΖΓ τῇ ΓΕ. τὸ ἄρα ὑπὸ τῶν ΓΘ, ΕΗ ἴσον ἐστὶ τῷ ΑΒΓ τριγώνῳ. ἀλλὰ τὸ ὑπὸ τῶν ΓΘ, ΕΗ πλευρά ἐστιν τοῦ ἀπὸ τῆς ΓΘ ἐπὶ τὸ ἀπὸ τῆς ΕΗ· ἔσται ἄρα τοῦ ΑΒΓ τριγώνου τὸ ἐμβαδὸν ἐφ' ἑαυτὸ γενόμενον ἴσον τῷ ἀπὸ τῆς ΘΓ ἐπὶ τὸ ἀπὸ τῆς ΕΗ. ἤχθω τῇ μὲν ΓΗ πρὸς ὀρθὰς ἡ ΗΛ, τῇ δὲ ΓΒ ἡ ΒΛ, καὶ ἐπεζεύχθω ἡ ΓΛ. ἐπεὶ οὖν ὀρθή ἐστιν ἑκατέρα τῶν ὑπὸ ΓΗΛ, ΓΒΛ, ἐν κύκλῳ ἄρα ἐστὶ τὸ ΓΗΒΛ τετράπλευρον· αἱ ἄρα ὑπὸ ΓΗΒ, ΓΛΒ δυσὶν ὀρθαῖς εἰσιν ἴσαι. εἰσὶν δὲ καὶ αἱ ὑπὸ ΓΗΒ, ΑΗΔ δυσὶν ὀρθαῖς ἴσαι διὰ τὸ δίχα τετμῆσθαι τὰς πρὸς τῷ Η γωνίας ταῖς ΑΗ, ΒΗ, ΓΗ καὶ ἴσας εἶναι τὰς ὑπὸ τῶν ΓΗΒ, ΑΗΔ ταῖς ὑπὸ τῶν ΑΗΓ, ΔΗΒ καὶ τὰς πάσας τέτρασιν ὀρθαῖς ἴσας εἶναι· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΑΗΔ τῇ ὑπὸ ΓΛΒ. ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΑΔΗ ὀρθῇ τῇ ὑπὸ ΓΒΛ ἴση· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΗΔ τρίγωνον τῷ ΓΒΛ τριγώνῳ. ὡς ἄρα ἡ ΒΓ πρὸς

[1] *τὸ δὲ . . . τριγώνου*: these words, along with several

circle ΔEZ be inscribed in the triangle with centre H [Eucl. iv. 4], and let AH, BH, ΓH, ΔH, EH, ZH be joined. Then

$B\Gamma \,.\, EH = 2 \,.\,$ triangle $BH\Gamma$, [Eucl. i. 41

$\Gamma A \,.\, ZH = 2 \,.\,$ triangle $AH\Gamma$, [*ibid.*

$AB \,.\, \Delta H = 2 \,.\,$ triangle ABH. [*ibid.*

Therefore the rectangle contained by the perimeter of the triangle $AB\Gamma$ and EH, that is the radius of the circle ΔEZ, is double of the triangle $AB\Gamma$. Let ΓB be produced and let $B\Theta$ be placed equal to $A\Delta$; then $\Gamma B\Theta$ is half of the perimeter of the triangle $AB\Gamma$ because $A\Delta = AZ$, $\Delta B = BE$, $Z\Gamma = \Gamma E$ [by Eucl. iii. 17]. Therefore

$\Gamma\Theta \,.\, EH =$ triangle $AB\Gamma$. [*ibid.*

But $\Gamma\Theta \,.\, EH = \sqrt{\Gamma\Theta^2 \,.\, EH^2}$;

therefore (triangle $AB\Gamma)^2 = \Theta\Gamma^2 \,.\, EH^2$.

Let $H\Lambda$ be drawn perpendicular to ΓH and $B\Lambda$ perpendicular to ΓB, and let $\Gamma\Lambda$ be joined. Then since each of the angles $\Gamma H\Lambda$, $\Gamma B\Lambda$ is right, a circle can be described about the quadrilateral $\Gamma HB\Lambda$ [by Eucl. iii. 31]; therefore the angles ΓHB, $\Gamma\Lambda B$ are together equal to two right angles [Eucl. iii. 22]. But the angles ΓHB, $AH\Delta$ are together equal to two right angles because the angles at H are bisected by AH, BH, ΓH and the angles ΓHB, $AH\Delta$ together with $AH\Gamma$, ΔHB are equal to four right angles; therefore the angle $AH\Delta$ is equal to the angle $\Gamma\Lambda B$. But the right angle $A\Delta H$ is equal to the right angle $\Gamma B\Lambda$; therefore the triangle $AH\Delta$ is similar to the triangle $\Gamma B\Lambda$.

other obvious corrections not specified in this edition, were rightly added to the text by a fifteenth-century scribe.

ΒΛ, ἡ ΑΔ πρὸς ΔΗ, τουτέστιν ἡ ΒΘ πρὸς ΕΗ, καὶ ἐναλλάξ, ὡς ἡ ΓΒ πρὸς ΒΘ, ἡ ΒΛ πρὸς ΕΗ, τουτέστιν ἡ ΒΚ πρὸς ΚΕ διὰ τὸ παράλληλον εἶναι τὴν ΒΛ τῇ ΕΗ, καὶ συνθέντι, ὡς ἡ ΓΘ πρὸς ΒΘ, οὕτως ἡ ΒΕ πρὸς ΕΚ· ὥστε καὶ ὡς τὸ ἀπὸ τῆς ΓΘ πρὸς τὸ ὑπὸ τῶν ΓΘ, ΘΒ, οὕτως τὸ ὑπὸ ΒΕΓ πρὸς τὸ ὑπὸ ΓΕΚ, τουτέστι πρὸς τὸ ἀπὸ ΕΗ· ἐν ὀρθογωνίῳ γὰρ ἀπὸ τῆς ὀρθῆς ἐπὶ τὴν βάσιν κάθετος ἦκται ἡ ΕΗ· ὥστε τὸ ἀπὸ τῆς ΓΘ ἐπὶ τὸ ἀπὸ τῆς ΕΗ, οὗ πλευρὰ ἦν τὸ ἐμβαδὸν τοῦ ΑΒΓ τριγώνου, ἴσον ἔσται τῷ ὑπὸ ΓΘΒ ἐπὶ τὸ ὑπὸ ΓΕΒ. καὶ ἔστι δοθεῖσα ἑκάστη τῶν ΓΘ, ΘΒ, ΒΕ, ΓΕ· ἡ μὲν γὰρ ΓΘ ἡμίσειά ἐστι τῆς περιμέτρου τοῦ ΑΒΓ τριγώνου, ἡ δὲ ΒΘ ἡ ὑπεροχή, ᾗ ὑπερέχει ἡ ἡμίσεια τῆς περιμέτρου τῆς ΓΒ, ἡ δὲ ΒΕ ἡ ὑπεροχή, ᾗ ὑπερέχει ἡ ἡμίσεια τῆς περιμέτρου τῆς ΑΓ, ἡ δὲ ΕΓ ἡ ὑπεροχή, ᾗ ὑπερέχει ἡ ἡμίσεια τῆς περιμέτρου τῆς ΑΒ, ἐπειδήπερ ἴση ἐστὶν ἡ μὲν ΕΓ τῇ ΓΖ, ἡ δὲ ΒΘ τῇ ΑΖ, ἐπεὶ καὶ τῇ ΑΔ ἐστὶν ἴση. δοθὲν ἄρα καὶ τὸ ἐμβαδὸν τοῦ ΑΒΓ τριγώνου.

(ii.) *Volume of a Spire*

Ibid. ii. 13, ed. H. Schöne (Heron iii.) 126. 10–130. 3

Ἔστω γάρ τις ἐν ἐπιπέδῳ εὐθεῖα ἡ ΑΒ καὶ δύο τυχόντα ἐπ᾿ αὐτῆς σημεῖα. εἰλήφθω ὁ ΒΓΔΕ ⟨κύκλος⟩[1] ὀρθὸς ὢν πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, ἐν ᾧ ἐστιν ἡ ΑΒ εὐθεῖα, καὶ μένοντος τοῦ Α

[1] κύκλος add. H. Schöne.

Therefore $\quad B\Gamma : B\Lambda = A\Delta : \Delta H$

$= B\Theta : EH,$

and *permutando*, $\quad \Gamma B : B\Theta = B\Lambda : EH$

$= BK : KE,$

because $B\Lambda$ is parallel to EH,

and *componendo* $\quad \Gamma\Theta : B\Theta = BE : EK$;

therefore $\quad \Gamma\Theta^2 : \Gamma\Theta \, . \, \Theta B = BE \, . \, E\Gamma : \Gamma E \, . \, EK,$

i.e. $\quad = BE \, . \, E\Gamma : EH^2,$

for in a right-angled triangle EH has been drawn from the right angle perpendicular to the base; therefore $\Gamma\Theta^2 \, . \, EH^2$, whose square root is the area of the triangle $AB\Gamma$, is equal to $(\Gamma\Theta \, . \, \Theta B)(\Gamma E \, . \, EB)$. And each of $\Gamma\Theta$, ΘB, BE, ΓE is given; for $\Gamma\Theta$ is half of the perimeter of the triangle $AB\Gamma$, while $B\Theta$ is the excess of half the perimeter over ΓB, BE is the excess of half the perimeter over $A\Gamma$, and $E\Gamma$ is the excess of half the perimeter over AB, inasmuch as $E\Gamma = \Gamma Z$, $B\Theta = A\Delta = AZ$. Therefore the area of the triangle $AB\Gamma$ is given.[a]

(ii.) *Volume of a Spire*

Ibid. ii. 13, ed. H. Schöne (Heron iii.) 126. 10–130. 3

Let AB be any straight line in a plane and A, B any two points taken on it. Let the circle $B\Gamma\Delta E$ be taken perpendicular to the plane of the horizontal, in which lies the straight line AB, and, while the point

[a] If the sides of the triangle are a, b, c, and $s = \frac{1}{2}(a + b + c)$, Heron's formula may be stated in the familiar terms,

$$\text{area of triangle} = \sqrt{s(s-a)(s-b)(s-c)}.$$

Heron also proves the formula in his *Dioptra* 30, but it is now known from Arabian sources to have been discovered by Archimedes.

σημείου περιφερέσθω κατὰ τὸ ἐπίπεδον ἡ AB, ἄχρι οὗ εἰς τὸ αὐτὸ ἀποκατασταθῇ συμπεριφερομένου καὶ τοῦ ΒΓΔΕ κύκλου ὀρθοῦ διαμένοντος πρὸς τὸ ὑποκείμενον ἐπίπεδον. ἀπογεννήσει ἄρα τινὰ ἐπιφάνειαν ἡ ΒΓΔΕ περιφέρεια, ἣν δὴ σπειρικὴν καλοῦσιν· κἂν μὴ ᾖ δὲ ὅλος ὁ κύκλος, ἀλλὰ τμῆμα αὐτοῦ, πάλιν ἀπογεννήσει τὸ τοῦ κύκλου τμῆμα σπειρικῆς ἐπιφανείας τμῆμα, καθάπερ εἰσὶ καὶ αἱ ταῖς κίοσιν ὑποκείμεναι σπεῖραι· τριῶν γὰρ οὐσῶν ἐπιφανειῶν ἐν τῷ καλουμένῳ ἀναγραφεῖ, ὃν δή τινες καὶ ἐμβολέα καλοῦσιν, δύο μὲν κοίλων τῶν ἄκρων, μιᾶς δὲ μέσης καὶ κυρτῆς, ἅμα περιφερόμεναι αἱ τρεῖς ἀπογεννῶσι τὸ εἶδος τῆς τοῖς κίοσιν ὑποκειμένης σπείρας.

Δέον οὖν ἔστω τὴν ἀπογεννηθεῖσαν σπεῖραν ὑπὸ τοῦ ΒΓΔΕ κύκλου μετρῆσαι. δεδόσθω ἡ μὲν AB μονάδων $\bar{\kappa}$, ἡ δὲ ΒΓ διάμετρος μονάδων $\iota\beta$.



εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Z, καὶ ἀπὸ τῶν A, Z τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἤχθωσαν αἱ ΔΖΕ, ΗΑΘ. καὶ διὰ τῶν Δ, Ε τῇ AB παράλ-

A remains stationary, let AB revolve in the plane until it concludes its motion at the place where it started, the circle ΒΓΔΕ remaining throughout perpendicular to the plane of the horizontal. Then the circumference ΒΓΔΕ will generate a certain surface, which is called *spiric* ; and if the whole circle do not revolve, but only a segment of it, the segment of the circle will again generate a segment of a spiric surface, such as are the *spirae* on which columns rest ; for as there are three surfaces in the so-called *anagrapheus*, which some call also *emboleus*, two concave (the extremes) and one (the middle) convex, when the three are moved round simultaneously they generate the form of the *spira* on which columns rest.[a]

Let it then be required to measure the spire generated by the circle ΒΓΔΕ. Let AB be given as 20, and the diameter ΒΓ as 12. Let Z be the centre of the circle, and through[b] A, Z let ΗΑΘ, ΔΖΕ be drawn perpendicular to the plane of the horizontal. And through Δ, E let ΔΗ, ΕΘ be drawn parallel to

[a] The ἀναγραφεύς or ἐμβολεύς is the pattern or templet for applying to an architectural feature, in this case an Attic-Ionic column-base. The Attic-Ionic base consists essentially of two convex mouldings, separated by a concave one. In practice, there are always narrow vertical ribbons between the convex mouldings and the concave one, but Heron ignores them. In the *templet*, there are naturally two concave surfaces separated by a convex, and the kind of figure Heron had in mind appears to be that here illustrated. I am indebted to Mr. D. S. Robertson, Regius Professor of Greek in the University of Cambridge, for help in elucidating this passage.

[b] Lit. "from."

ληλοι ἤχθωσαν αἱ ΔΗ, ΕΘ. δέδεικται δὲ Διονυσοδώρῳ ἐν τῷ Περὶ τῆς σπείρας ἐπιγραφομένῳ, ὅτι ὃν λόγον ἔχει ὁ ΒΓΔΕ κύκλος πρὸς τὸ ἥμισυ τοῦ ΔΕΗΘ παραλληλογράμμου, τοῦτον ἔχει καὶ ἡ γεννηθεῖσα σπεῖρα ὑπὸ τοῦ ΒΓΔΕ κύκλου πρὸς τὸν κύλινδρον, οὗ ἄξων μέν ἐστιν ὁ ΗΘ, ἡ δὲ ἐκ τοῦ κέντρου τῆς βάσεως ἡ ΕΘ. ἐπεὶ οὖν ἡ ΒΓ μονάδων ιβ̄ ἐστίν, ἡ ἄρα ΖΓ ἔσται μονάδων ϛ̄. ἔστι δὲ καὶ ἡ ΑΓ μονάδων η̄· ἔσται ἄρα ἡ ΑΖ μονάδων ιδ̄, τουτέστιν ἡ ΕΘ, ἥτις ἐστὶν ἐκ τοῦ κέντρου τῆς βάσεως τοῦ εἰρημένου κυλίνδρου· δοθεὶς ἄρα ἐστὶν ὁ κύκλος· ἀλλὰ καὶ ὁ ἄξων δοθείς· ἔστιν γὰρ μονάδων ιβ̄, ἐπεὶ καὶ ἡ ΔΕ. ὥστε δοθεὶς καὶ ὁ εἰρημένος κύλινδρος· καὶ ἔστι τὸ ΔΘ παραλληλόγραμμον ⟨δοθέν⟩[1]· ὥστε καὶ τὸ ἥμισυ αὐτοῦ. ἀλλὰ καὶ ὁ ΒΓΔΕ κύκλος· δοθεῖσα γὰρ ἡ ΓΒ διάμετρος. λόγος ἄρα τοῦ ΒΓΔΕ κύκλου πρὸς τὸ ΔΘ παραλληλόγραμμον δοθείς· ὥστε καὶ τῆς σπείρας πρὸς τὸν κύλινδρον λόγος ἔστι δοθείς. καὶ ἔστι δοθείς ὁ κύλινδρος· δοθὲν ἄρα καὶ τὸ στερεὸν τῆς σπείρας.

Συντεθήσεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως. ἄφελε ἀπὸ τῶν κ̄ τὰ ιβ̄· λοιπὰ η̄. καὶ πρόσθες τὰ κ̄· γίγνεται κη̄· καὶ μέτρησον κύλινδρον, οὗ ἡ μὲν διάμετρος τῆς βάσεώς ἐστι μονάδων κη̄, τὸ δὲ ὕψος ιβ̄· καὶ γίγνεται τὸ στερεὸν αὐτοῦ ͵ζτϞβ̄. καὶ μέτρησον κύκλον, οὗ διάμετρός ἐστι μονάδων ιβ̄· γίγνεται τὸ ἐμβαδὸν αὐτοῦ, καθὼς ἐμάθομεν, ριγ̄ ζ′· καὶ λαβὲ τῶν κη̄ τὸ ἥμισυ· γίγνεται ιδ̄. ἐπὶ τὸ ἥμισυ τῶν ιβ̄· γίγνεται πδ̄· καὶ πολλα-

[1] δοθέν add. H. Schöne.

AB. Now it is proved by Dionysodorus [a] in the book which he wrote *On the Spire* that the circle ΒΓΔΕ bears to half of the parallelogram ΔΕΗΘ the same ratio as the spire generated by the circle ΒΓΔΕ bears to the cylinder having ΗΘ for its axis and ΕΘ for the radius of its base. Now, since ΒΓ is 12, ΖΓ will be 6. But ΑΓ is 8 ; therefore ΑΖ will be 14, and likewise ΕΘ, which is the radius of the base of the aforesaid cylinder. Therefore the circle is given ; but the axis is also given ; for it is 12, since this is the length of ΔΕ. Therefore the aforesaid cylinder is also given ; and the parallelogram ΔΘ is given, so that its half is also given. But the circle ΒΓΔΕ is also given ; for the diameter ΓΒ is given. Therefore the ratio of the circle ΒΓΔΕ to the parallelogram is given ; and so the ratio of the spire to the cylinder is given. And the cylinder is given ; therefore the volume of the spire is also given.

Following the analysis, the synthesis may thus be done. Take 12 from 20 ; the remainder is 8. And add 20 ; the result is 28. Let the measure be taken of the cylinder having for the diameter of its base 28 and for height 12 ; the resulting volume is 7392. Now let the area be found of a circle having a diameter 12 ; the resulting area, as we learnt, is $113\frac{1}{7}$. Take the half of 28 ; the result is 14. Multiply it by the half of 12 ; the result is 84. Now multiply

[a] For Dionysodorus *v. supra*, p. 162 n. *a* and p. 364 n. *a*. If $\Delta E = H\Theta = 2r$ and $E\Theta = a$, then the volume of the spire bears to the volume of the cylinder the ratio $2\pi a \,.\, \pi r^2 : 2r \,.\, \pi a^2$ or $\pi r : a$, which, as Dionysodorus points out, is identical with the ratio of the circle to half the parallelogram, that is, $\pi r^2 : ra$ or $\pi r : a$.

πλασιάσας τὰ ,ζτϛβ ἐπὶ τὰ ρῑγ̄ ζ′· καὶ τὰ γενόμενα παράβαλε παρὰ τὸν πδ̄· γίγνεται ,θϡνϛ $\frac{\zeta}{\delta}$. τοσούτου ἔσται τὸ στερεὸν τῆς σπείρας.

(iii.) *Division of a Circle*

Ibid. iii. 18, ed. H. Schöne (Heron iii.) 172. 13–174. 2

Τὸν δοθέντα κύκλον διελεῖν εἰς τρία ἴσα δυσὶν εὐθείαις. τὸ μὲν οὖν πρόβλημα ὅτι οὐ ῥητόν ἐστι, δῆλον, τῆς εὐχρηστίας δὲ ἕνεκεν διελοῦμεν αὐτὸν ὡς ἔγγιστα οὕτω. ἔστω ὁ δοθεὶς κύκλος, οὗ κέντρον τὸ Α, καὶ ἐνηρμόσθω εἰς αὐτὸν τρίγωνον ἰσόπλευρον, οὗ πλευρὰ ἡ ΒΓ, καὶ παράλληλος αὐτῇ ἤχθω ἡ ΔΑΕ καὶ ἐπεζεύχθωσαν αἱ ΒΔ, ΔΓ. λέγω, ὅτι τὸ ΔΒΓ τμῆμα τρίτον ἔγγιστά ἐστι μέρος τοῦ ὅλου κύκλου. ἐπεζεύχθωσαν γὰρ αἱ ΒΑ, ΑΓ. ὁ ἄρα ΑΒΓΖΒ τομεὺς τρίτον ἐστὶ μέρος τοῦ ὅλου κύκλου. καὶ ἔστιν ἴσον τὸ ΑΒΓ τρίγωνον τῷ ΒΓΔ τριγώνῳ· τὸ ἄρα ΒΔΓΖ σχῆμα τρίτον μέρος ἐστὶ τοῦ ὅλου κύκλου, ᾧ δὴ μεῖζόν ἐστιν αὐτοῦ τὸ ΔΒΓ τμῆμα ἀνεπαισθήτου ὄντος ὡς πρὸς τὸν ὅλον κύκλον. ὁμοίως δὲ καὶ ἑτέραν

7392 by $113\frac{1}{7}$ and divide the product by 84; the result is $9956\frac{4}{7}$. This will be the volume of the spire.

(iii.) *Division of a Circle*

Ibid. iii. 18, ed. H. Schöne (Heron iii.) 172. 13–174. 2

To divide a given circle into three equal parts by two straight lines. It is clear that this problem is not rational, and for practical convenience we shall make the division as closely as possible in this way. Let the given circle have A for its centre, and let there be inserted in it an equilateral triangle with side ΒΓ, and let ΔΑΕ be drawn parallel to it, and let ΒΔ, ΔΓ



be joined. I say that the segment ΔΒΓ is approximately a third part of the whole circle. For let ΒΑ, ΑΓ be joined. Then the sector ΑΒΓΖΒ is a third part of the whole circle. And the triangle ΑΒΓ is equal to the triangle ΒΓΔ [Eucl. i. 37]; therefore the figure ΒΔΓΖ is a third part of the whole circle, and the excess of the segment ΔΒΓ over it is negligible in comparison with the whole circle. Similarly, if we πλευρὰν ἰσοπλεύρου τριγώνου ἐγγράψαντες ἀφελοῦμεν ἕτερον τρίτον μέρος· ὥστε καὶ τὸ καταλειπόμενον τρίτον μέρος ἔσται [μέρος][1] τοῦ ὅλου κύκλου.

(iv.) *Measurement of an Irregular Area*

Heron, *Diopt.* 23, ed. H. Schöne (Heron iii.) 260. 18–264. 15

Τὸ δοθὲν χωρίον μετρῆσαι διὰ διόπτρας. ἔστω τὸ δοθὲν χωρίον περιεχόμενον ὑπὸ γραμμῆς



ἀτάκτου τῆς ΑΒΓΔΕΖΗΘ. ἐπεὶ οὖν ἐμάθομεν διὰ τῆς κατασκευασθείσης διόπτρας διάγειν πάσῃ τῇ δοθείσῃ εὐθείᾳ ⟨ἑτέραν⟩[2] πρὸς ὀρθάς, ἔλαβόν τι σημεῖον ἐπὶ τῆς περιεχούσης τὸ χωρίον γραμμῆς inscribe another side of the equilateral triangle, we may take away another third part ; and therefore the remainder will also be a third part of the whole circle.[a]

(iv.) *Measurement of an Irregular Area*

Heron, *Dioptra* [b] 23, ed. H. Schöne (Heron iii.) 260. 18–264. 15

To measure a given area by means of the dioptra. Let the given area be bounded by the irregular line ΑΒΓΔΕΖΗΘ. Since we learnt to draw, by setting the dioptra, a straight line perpendicular to any other straight line, I took any point B on the line en-

[a] Euclid, in his book *On Divisions of Figures* which has partly survived in Arabic, solved a similar problem—*to draw in a given circle two parallel chords cutting off a certain fraction of the circle* ; Euclid actually takes the fraction as one-third. The general character of the third book of Heron's *Metrics* is very similar to Euclid's treatise.

It is in the course of this book (iii. 20) that Heron extracts the cube root of 100 by a method already noted (vol. i. pp. 60-63).

[b] The dioptra was an instrument fulfilling the same purposes as the modern theodolite. An elaborate description of the instrument prefaces Heron's treatise on the subject, and it was obviously a fine piece of craftsmanship, much superior to the " parallactic " instrument with which Ptolemy had to work—another piece of evidence against an early date for Heron.

[1] μέρος om. H. Schöne.
[2] ἑτέραν add. H. Schöne.

τὸ Β, καὶ ἤγαγον εὐθεῖαν τυχοῦσαν διὰ τῆς διόπτρας τὴν ΒΗ, καὶ ταύτῃ πρὸς ὀρθὰς τὴν ΒΓ, ⟨καὶ ταύτῃ⟩[1] ἑτέραν πρὸς ὀρθὰς τὴν ΓΖ, καὶ ὁμοίως τῇ ΓΖ πρὸς ὀρθὰς τὴν ΖΘ. καὶ ἔλαβον ἐπὶ τῶν ἀχθεισῶν εὐθειῶν συνεχῆ σημεῖα, ἐπὶ μὲν τῆς ΒΗ τὰ Κ, Λ, Μ, Ν, Ξ, Ο· ἐπὶ δὲ τῆς ΒΓ τὰ Π, Ρ· ἐπὶ δὲ τῆς ΓΖ τὰ Σ, Τ, Υ, Φ, Χ, Ψ, Ω· ἐπὶ δὲ τῆς ΖΘ τὰ ϛ, ϙ. καὶ ἀπὸ τῶν ληφθέντων σημείων ταῖς εὐθείαις, ἐφ' ὧν ἐστὶ τὰ σημεῖα, πρὸς ὀρθὰς ἤγαγον τὰς Κϡ, ΛΑ, Μ,Α, Ν,Β, Ξ,Γ, Ο,Δ, Π,Ε, Ρ,ϛ, Σ,Ζ, Τ,Η, Υ,Θ, ΦΔ, Χ$\overset{\alpha}{\mathrm{M}}$, Ψ$\overset{\beta}{\mathrm{M}}$, ΩΕ, ϛ$\overset{\gamma}{\mathrm{M}}$, ϙ$\overset{\delta}{\mathrm{M}}$ οὕτως ὥστε [τὰς ἐπὶ][2] τὰ πέρατα τῶν ἀχθεισῶν πρὸς ὀρθὰς [ἐπιζευγνυμένας][3] ἀπολαμβάνειν γραμμὰς ἀπὸ τῆς περιεχούσης τὸ χωρίον γραμμῆς σύνεγγυς εὐθείας· καὶ τούτων γενηθέντων ἔσται δυνατὸν τὸ χωρίον μετρεῖν. τὸ μὲν γὰρ ΒΓΖ$\overset{\epsilon}{\mathrm{M}}$ παραλληλόγραμμον ὀρθογώνιόν ἐστιν· ἔπειτα τὰς πλευρὰς ἁλύσει ἢ σχοινίῳ βεβασανισμένῳ, τουτέστιν μήτ' ἐκτείνεσθαι μήτε συστέλλεσθαι δυναμένῳ, μετρήσαντες ἕξομεν τὸ ἐμβαδὸν τοῦ παραλληλογράμμου. τὰ δ' ἐκτὸς τούτου τρίγωνα ὀρθογώνια καὶ τραπέζια ὁμοίως μετρήσομεν, ἔχοντες τὰς πλευρὰς αὐτῶν· ἔσται γὰρ τρίγωνα μὲν ὀρθογώνια τὰ ΒΚϡ, ΒΠ,Ε, ΓΡ,ϛ, ΓΣ,Ζ, ΖΩΕ, Ζϛ$\overset{\gamma}{\mathrm{M}}$, ΘΗ$\overset{\epsilon}{\mathrm{M}}$· τὰ δὲ λοιπὰ τραπέζια ὀρθογώνια. τὰ μὲν οὖν τρίγωνα μετρεῖται τῶν περὶ τὴν ὀρθὴν γωνίαν πολλαπλασιαζομένων ἐπ' ἄλληλα· καὶ τοῦ γενομένου τὸ ἥμισυ. τὰ δὲ τραπέζια· συναμφοτέρων τῶν παραλλήλων τὸ ἥμισυ ἐπὶ τὴν ἐπ' αὐτὰς κάθετον οὖσαν, οἷον closing the area, and by means of the dioptra drew any straight line BH, and drew BΓ perpendicular to it, and drew another straight line ΓZ perpendicular to this last, and similarly drew ZΘ perpendicular to ΓZ. And on the straight lines so drawn I took a series of points—on BH taking K, Λ, M, N, Ξ, O, on BΓ taking Π, P, on ΓZ taking Σ, T, Υ, Φ, X, Ψ, Ω, and on ZΘ taking ϛ, ϙ. And from the points so taken on the straight lines designated by the letters, I drew the perpendiculars Kϡ, ΛA, M͵A, N͵B, Ξ͵Γ, O͵Δ, Π͵E, P͵ϛ, Σ͵Z, T͵H, Υ͵Θ, ΦΔ, X$\overset{\alpha}{\mathrm{M}}$, Ψ$\overset{\beta}{\mathrm{M}}$, ΩE, ϛ$\overset{\gamma}{\mathrm{M}}$, ϙ$\overset{\delta}{\mathrm{M}}$ in such a manner that the extremities of the perpendiculars cut off from the line enclosing the area approximately straight lines. When this is done it will be possible to measure the area. For the parallelogram BΓZ$\overset{\epsilon}{\mathrm{M}}$ is right-angled ; so that if we measure the sides by a chain or measuring-rod, which has been carefully tested so that it can neither expand nor contract, we shall obtain the area of the parallelogram. We may similarly measure the right-angled triangles and trapezia outside this by taking their sides ; for BKϡ, BΠ͵E, ΓP͵ϛ, ΓΣ͵Z, ZΩE, Zϛ$\overset{\gamma}{\mathrm{M}}$, ΘH$\overset{\epsilon}{\mathrm{M}}$ are right-angled triangles, and the remaining figures are right-angled trapezia. The triangles are measured by multiplying together the sides about the right angle and taking half the product. As for the trapezia—take half of the sum of the two parallel sides and multiply it by the perpendicular upon

[1] *καὶ ταύτῃ* add. H. Schöne.
[2] *τὰς ἐπὶ* om. H. Schöne.
[3] *ἐπιζευγνυμένας* om. H. Schöne.

τῶν ΚΛ, ΑΛ τὸ ἥμισυ ἐπὶ τὴν ΚΛ· καὶ τῶν λοιπῶν δὲ ὁμοίως. ἔσται ἄρα μεμετρημένον ὅλον τὸ χωρίον διά τε τοῦ μέσου παραλληλογράμμου καὶ τῶν ἐκτὸς αὐτοῦ τριγώνων καὶ τραπεζίων. ἐὰν δὲ τύχῃ ποτὲ μεταξὺ αὐτῶν τῶν ἀχθεισῶν πρὸς ὀρθὰς ταῖς τοῦ παραλληλογράμμου πλευραῖς καμπύλη γραμμὴ μὴ συνεγγίζουσα εὐθείᾳ (οἷον μεταξὺ τῶν Ξ,Γ, Ο,Δ γραμμὴ ἡ ,Γ,Δ), ἀλλὰ περιφερεῖ, μετρήσομεν οὕτως· ἀγαγόντες ⟨τῇ⟩[1] Ο,Δ πρὸς ὀρθὰς τὴν ,Δ$\overset{ϛ}{\mathrm{M}}$, καὶ ἐπ' αὐτῆς λαβόντες σημεῖα συνεχῆ τὰ $\overset{\theta}{\mathrm{M}}$, $\overset{\eta}{\mathrm{M}}$, καὶ ἀπ' αὐτῶν πρὸς ὀρθὰς ἀγαγόντες τῇ $\overset{ϛ}{\mathrm{M}}$,Δ τὰς $\overset{\theta}{\mathrm{M}}\overset{\iota}{\mathrm{M}}$, $\overset{\eta}{\mathrm{M}}\overset{\zeta}{\mathrm{M}}$, ὥστε τὰς μεταξὺ τῶν ἀχθεισῶν σύνεγγυς εὐθείας εἶναι, πάλιν μετρήσομεν τό τε $\overset{ϛ}{\mathrm{M}}$ΞΟ,Δ παραλληλόγραμμον καὶ τὸ $\overset{\eta}{\mathrm{M}}\overset{\zeta}{\mathrm{M}}$,Δ τρίγωνον, καὶ τὸ ,Γ$\overset{ϛ}{\mathrm{M}}\overset{\theta}{\mathrm{M}}\overset{\iota}{\mathrm{M}}$ τραπέζιον, καὶ ἔτι τὸ ἕτερον τραπέζιον, καὶ ἕξομεν τὸ περιεχόμενον χωρίον ὑπό τε τῆς ,Γ$\overset{\iota}{\mathrm{M}}\overset{\zeta}{\mathrm{M}}$,Δ γραμμῆς καὶ τῶν ,ΓΞ, ⟨ΞΟ,⟩[2] Ο,Δ εὐθειῶν μεμετρημένον.

(c) Mechanics

Heron, *Diopt.* 37, ed. H. Schöne (Heron iii.) 306. 22–312. 22

Τῇ δοθείσῃ δυνάμει τὸ δοθὲν βάρος κινῆσαι

[1] τῇ add. H. Schöne. [2] ΞΟ add. H. Schöne.

[a] Heron's *Mechanics* in three books has survived in Arabic, but has obviously undergone changes in form. It begins with the problem of arranging toothed wheels so as to move

them, as, for example, half of Kϡ, ΑΛ by ΚΛ ; and similarly for the remainder. Then the whole area will have been measured by means of the parallelogram in the middle and the triangles and trapezia outside it. If perchance the curved line between the perpendiculars drawn to the sides of the parallelogram should not approximate to a straight line (as, for example, the curve ,Γ,Δ between Ξ,Γ, O,Δ), but to an arc, we may measure it thus : Draw $_{,}\Delta\overset{\varsigma}{M}$ perpendicular to O,Δ, and on it take a series of points $\overset{\theta}{M}$, $\overset{\eta}{M}$, and from them draw $\overset{\theta}{M}\overset{\iota}{M}$, $\overset{\eta}{M}\overset{\zeta}{M}$ perpendicular to $\overset{\varsigma}{M}{}_{,}\Delta$, so that the portions between the straight lines so drawn approximate to straight lines, and again we can measure the parallelogram $\overset{\varsigma}{M}\Xi O_{,}\Delta$ and the triangle $\overset{\eta}{M}\overset{\zeta}{M}{}_{,}\Delta$, and the trapezium $_{,}\Gamma\overset{\varsigma}{M}\overset{\theta}{M}\overset{\iota}{M}$, and also the other trapezium, and so we shall obtain the area bounded by the line $_{,}\Gamma\overset{\iota}{M}\overset{\zeta}{M}{}_{,}\Delta$ and the straight lines ,ΓΞ, ΞO, O,Δ.

(c) MECHANICS [a]

Heron, *Dioptra* 37, ed. H. Schöne (Heron iii.) 306. 22–312. 22

With a given force to move a given weight by the

a given weight by a given force. This account is the same as that given in the passage here reproduced from the *Dioptra*, and it is obviously the same as the account found by Pappus (viii. 19, ed. Hultsch 1060. 1–1068. 23) in a work of Heron's (now lost) entitled Βαρουλκός (" weight-lifter ")—though Pappus himself took the ratio of force to weight as 4 : 160 and the ratio of successive diameters as 2 : 1. It is suggested by Heath (*H.G.M.* ii. 346-347) that the chapter from the διὰ τυμπάνων ὀδοντωτῶν παραθέσεως. κατεσκευάσθω πῆγμα καθάπερ γλωσσόκομον· εἰς τοὺς μακροὺς καὶ παραλλήλους τοίχους διακείσθωσαν ἄξονες παράλληλοι ἑαυτοῖς, ἐν διαστήμασι κείμενοι



ὥστε τὰ συμφυῆ αὐτοῖς ὀδοντωτὰ τύμπανα παρακεῖσθαι καὶ συμπεπλέχθαι ἀλλήλοις, καθὰ μέλλομεν δηλοῦν. ἔστω τὸ εἰρημένον γλωσσόκομον τὸ ΑΒΓΔ, ἐν ᾧ ἄξων ἔστω διακείμενος, ὡς εἴρηται, καὶ δυνάμενος εὐλύτως στρέφεσθαι, ὁ ΕΖ. τούτῳ δὲ συμφυὲς ἔστω τύμπανον ὠδοντωμένον τὸ ΗΘ ἔχον τὴν διάμετρον, εἰ τύχοι, πενταπλασίονα ⟨τῆς⟩[1] τοῦ ΕΖ ἄξονος διαμέτρου. καὶ ἵνα ἐπὶ παραδείγματος τὴν κατασκευὴν ποιησώμεθα, ἔστω τὸ μὲν ἀγόμενον βάρος ταλάντων χιλίων, ἡ δὲ κινοῦσα δύναμις ἔστω ταλάντων ε̄, τουτέστιν ὁ κινῶν ἄνθρωπος ἢ παιδάριον, ὥστε δύνασθαι καθ' ἑαυτὸν ἄνευ μηχανῆς ἕλκειν τάλαντα ε̄. οὐκοῦν ἐὰν τὰ ἐκ τοῦ φορτίου ἐκδεδεμένα ὅπλα διά τινος ⟨ὀπῆς *juxtaposition of toothed wheels.*[a] Let a framework be prepared like a chest ; and in the long, parallel walls let there lie axles parallel one to another, resting at such intervals that the toothed wheels fitting on to them will be adjacent and will engage one with the other, as we shall explain. Let ΑΒΓΔ be the aforesaid chest, and let EZ be an axle lying in it, as stated above, and able to revolve freely. Fitting on to this axle let there be a toothed wheel HΘ whose diameter, say, is five times the diameter of the axle EZ. In order that the construction may serve as an illustration, let the weight to be raised be 1000 talents, and let the moving force be 5 talents, that is, let the man or slave who moves it be able by himself, without mechanical aid, to lift 5 talents. Then if the rope holding the load passes through some aperture in

Βαρουλκός was substituted for the original opening of the *Mechanics*, which had become lost.

Other problems dealt with in the *Mechanics* are the paradox of motion known as Aristotle's wheel, the parallelogram of velocities, motion on an inclined plane, centres of gravity, the five mechanical powers, and the construction of engines. Edited with a German translation by L. Nix and W. Schmidt, it is published as vol. ii. in the Teubner Heron.

[a] Perhaps "rollers."

[1] τῆς add. Vincentius.

οὔσης⟩[1] ἐν τῷ ΑΒ τοίχῳ ἐπειληθῇ περὶ τὸν ΕΖ ἄξονα ⟨. . . . .⟩[2] κατειλούμενα τὰ ἐκ τοῦ φορτίου ὅπλα κινήσει τὸ βάρος[3]· ἵνα δὲ κινηθῇ τὸ ΗΘ τύμπανον, ⟨δεῖ δυνά⟩μει[4] ὑπάρχειν πλέον ταλάντων διακοσίων, διὰ τὸ τὴν διάμετρον τοῦ τυμπάνου τῆς διαμέτρου τοῦ ἄξονος, ὡς ὑπεθέμεθα, πενταπλῆν ⟨εἶναι⟩[5]· ταῦτα γὰρ ἀπεδείχθη ἐν ταῖς τῶν ε̅ δυνάμεων ἀποδείξεσιν. ἀλλ' ⟨. . . . . .⟩[6] ἔχομεν τί τὴν δύναμιν ταλάντων διακοσίων, ἀλλὰ πέντε. γεγονέτω οὖν ἕτερος ἄξων ⟨παράλληλος⟩[7] διακείμενος τῷ ΕΖ, ὁ ΚΛ, ἔχων συμφυὲς τύμπανον ὠδοντωμένον τὸ ΜΝ. ὀδοντῶδες δὲ καὶ τὸ ΗΘ τύμπανον, ὥστε ἐναρμόζειν ταῖς ὀδοντώσεσι τοῦ ΜΝ τυμπάνου. τῷ δὲ αὐτῷ ἄξονι τῷ ΚΛ συμφυὲς τύμπανον τὸ ΞΟ, ἔχον ὁμοίως τὴν διάμετρον πενταπλασίονα τῆς τοῦ ΜΝ τυμπάνου διαμέτρου. διὰ δὴ τοῦτο δεήσει τὸν βουλόμενον κινεῖν διὰ τοῦ ΞΟ τυμπάνου τὸ βάρος ἔχειν δύναμιν ταλάντων μ̅, ἐπειδήπερ τῶν σ̅ ταλάντων τὸ πέμπτον ἐστὶ τάλαντα μ̅. πάλιν οὖν παρακείσθω ⟨τῷ ΞΟ τυμπάνῳ ὠδοντωμένῳ⟩[8] τύμπανον ὀδοντωθὲν ἕτερον ⟨τὸ ΠΡ, καὶ ἔστω τῷ⟩[9] τυμπάνῳ ὠδοντωμένῳ τῷ ΠΡ συμφυὲς ἕτερον τύμπανον τὸ ΣΤ[10] ἔχον ὁμοίως πενταπλῆν τὴν διάμετρον τῆς ΠΡ τυμπάνου διαμέτρου· ἡ δὲ ἀ⟨νάλογος ἔσται δύναμις⟩[11] τοῦ ΣΤ τυμπάνου ἡ ἔχουσα τὸ βάρος ταλάντων η̅·

[1] ὀπῆς οὔσης add. Hultsch et H. Schöne.

[2] After ἄξονα there is a lacuna of five letters.

[3] τὰ ἐκ τοῦ φορτίου ὅπλα κινήσει τὸ βάρος H. Schöne, τὰ ἐκ τοῦ φορτίου ἐπλακων εν τισι το βάρος cod.

[4] δεῖ δυνάμει—" septem litteris madore absumptis, supplevi dubitanter," H. Schöne.

[5] εἶναι add. H. Schöne.

the wall AB and is coiled round the axle EZ, the rope holding the load will move the weight as it winds up. In order that the wheel HΘ may be moved, a force of more than 200 talents is necessary, owing to the diameter of the wheel being, as postulated, five times the diameter of the axle ; for this was shown in the proofs of the five mechanical powers.[a] We have [not, however . . .] a force of 200 talents, but only of 5. Therefore let there be another axle KΛ, lying parallel to EZ, and having the toothed wheel MN fitting on to it. Now let the teeth of the wheel HΘ be such as to engage with the teeth of the wheel MN. On the same axle KΛ let there be fitted the wheel ΞO, whose diameter is likewise five times the diameter of the wheel MN. Now, in consequence, anyone wishing to move the weight by means of the wheel ΞO will need a force of 40 talents, since the fifth part of 200 talents is 40 talents. Again, then, let another toothed wheel ΠP lie alongside the toothed wheel ΞO, and let there be fitted to the toothed wheel ΠP another toothed wheel ΣT whose diameter is likewise five times the diameter of the wheel ΠP ; then the force needing to be applied to the wheel ΣT will be 8 talents ; but the force actually available

[a] The wheel and axle, the lever, the pulley, the wedge and the screw, which are dealt with in Book ii. of Heron's *Mechanics*.

---

[6] After ἀλλ' is a special sign and a lacuna of 22 letters.
[7] παράλληλος add. H. Schöne.
[8] τῷ ΞO τυμπάνῳ ὠδοντωμένῳ add. H. Schöne.
[9] τὸ ΠP, καὶ ἔστω τῷ add. H. Schöne.
[10] τύμπανον τὸ ΣT, so I read in place of the συμφυὲς in Schöne's text.
[11] ἀνάλογος ἔσται δύναμις—so H. Schöne completes the lacuna.

ἀλλ' ἡ ὑπάρχουσα ἡμῖν δύναμις δέδοται ταλάντων ε̄. ὁμοίως ἕτερον παρακείσθω τύμπανον ὠδοντωμένον τὸ ΥΦ τῷ ΣΤ ὀδοντωθέντι· τοῦδε τοῦ ΥΦ τυμπάνου τῷ ἄξονι συμφυὲς ἔστω τύμπανον τὸ ΧΨ ὠδοντωμένον, οὗ ἡ διάμετρος πρὸς τὴν τοῦ ΥΦ τυμπάνου διάμετρον λόγον ἐχέτω, ὃν τὰ ὀκτὼ τάλαντα πρὸς τὰ τῆς δοθείσης δυνάμεως τάλαντα ε̄.

Καὶ τούτων παρασκευασθέντων, ἐὰν ἐπινοήσωμεν τὸ ΑΒΓΔ ⟨γλωσσόκομον⟩[1] μετέωρον κείμενον, καὶ ἐκ μὲν τοῦ ΕΖ ἄξονος τὸ βάρος ἐξάψωμεν, ἐκ δὲ τοῦ ΧΨ τυμπάνου τὴν ἕλκουσαν δύναμιν, οὐδοπότερον αὐτῶν κατενεχθήσεται, εὐλύτως στρεφομένων τῶν ἀξόνων, καὶ τῆς τῶν τυμπάνων παραθέσεως καλῶς ἁρμοζούσης, ἀλλ' ὥσπερ ζυγοῦ τινος ἰσορροπήσει ἡ δύναμις τῷ βάρει. ἐὰν δὲ ἑνὶ αὐτῶν προσθῶμεν ὀλίγον ἕτερον βάρος, καταρρέψει καὶ ἐνεχθήσεται ἐφ' ὃ προσετέθη βάρος, ὥστε ἐὰν ἓν τῶν ε̄ ταλάντων δυνάμει ⟨. . . . . .⟩[2] εἰ τύχοι μναϊαῖον προστεθῇ βάρος, κατακρατήσει καὶ ἐπισπάσεται τὸ βάρος. ἀντὶ δὲ[3] τῆς προσθέσεως τούτῳ παρακείσθω κοχλίας ἔχων τὴν ἕλικα ἁρμοστὴν τοῖς ὀδοῦσι τοῦ τυμπάνου, στρεφόμενος εὐλύτως περὶ τόρμους ἐνόντας ἐν τρήμασι στρογγύλοις, ὧν ὁ μὲν ἕτερος ὑπερεχέτω εἰς τὸ ἐκτὸς μέρος τοῦ γλωσσοκόμου κατὰ τὸν ΓΔ ⟨τοῖχον τὸν παρακείμενον⟩[4] τῷ κοχλίᾳ· ἡ ἄρα ὑπεροχὴ τετραγωνισθεῖσα λαβέτω χειρολάβην τὴν ϛϛ, δι' ἧς ἐπιλαμβανόμενός τις καὶ ἐπιστρέφων ἐπιστρέψει τὸν κοχλίαν καὶ τὸ ΧΨ τύμπανον, ὥστε καὶ τὸ ΥΦ συμφυὲς αὐτῷ. διὰ δὲ τοῦτο καὶ τὸ παρακείμενον τὸ ΣΤ ἐπιστραφήσεται, καὶ τὸ συμφυὲς αὐτῷ τὸ ΠΡ, καὶ τὸ τούτῳ παρακείμενον τὸ ΞΟ, to us is 5 talents. Let there be placed another toothed wheel ΥΦ engaging with the toothed wheel ΣΤ ; and fitting on to the axle of the wheel ΥΦ let there be a toothed wheel ΧΨ, whose diameter bears to the diameter of the wheel ΥΦ the same ratio as 8 talents bears to the given force 5 talents.

When this construction is done, if we imagine the chest ΑΒΓΔ as lying above the ground, with the weight hanging from the axle ΕΖ and the force raising it applied to the wheel ΧΨ, neither of them will descend, provided the axles revolve freely and the juxtaposition of the wheels is accurate, but as in a beam the force will balance the weight. But if to one of them we add another small weight, the one to which the weight was added will tend to sink down and will descend, so that if, say, a mina is added to one of the 5 talents in the force it will overcome and draw the weight. But instead of this addition to the force, let there be a screw having a spiral which engages the teeth of the wheel, and let it revolve freely about pins in round holes, of which one projects beyond the chest through the wall ΓΔ adjacent to the screw; and then let the projecting piece be made square and be given a handle Ϛϛ. Anyone who takes this handle and turns, will turn the screw and the wheel ΧΨ, and therefore the wheel ΥΦ joined to it. Similarly the adjacent wheel ΣΤ will revolve, and ΠΡ joined to it, and then the adjacent wheel ΞΟ, and then ΜΝ fitting

---

[1] γλωσσόκομον add. H. Schöne.
[2] After δυνάμει is a lacuna of seven letters.
[3] In Schöne's text δὲ is printed after τούτῳ.
[4] τοῖχον τὸν παρακείμενον add. H. Schöne.

καὶ τὸ τούτῳ συμφυὲς τὸ MN, καὶ τὸ τούτῳ παρακείμενον τὸ ΗΘ, ὥστε καὶ ὁ τούτῳ συμφυὴς ἄξων ὁ EZ, περὶ ὃν ἐπειλούμενα τὰ ἐκ τοῦ φορτίου ὅπλα κινήσει τὸ βάρος. ὅτι γὰρ κινήσει, πρόδηλον ἐκ τοῦ προστεθῆναι ἑτέρᾳ δυνάμει ⟨τὴν⟩[1] τῆς χειρολάβης, ἥτις περιγράφει κύκλον τῆς τοῦ κοχλίου περιμέτρου μείζονα· ἀπεδείχθη γὰρ ὅτι οἱ μείζονες κύκλοι τῶν ἐλασσόνων κατακρατοῦσιν, ὅταν περὶ τὸ αὐτὸ κέντρον κυλίωνται.

